G 18 Τὰ ὑπὲρ τῶν φρενῶν ὀδυνήματα, ἄνω φαρμακείην σημαίνει. ὁκόσα δὲ κάτω, κάτω.

19 Ὁκόσοι ἐν τῇσι φαρμακοποσίῃσι μὴ διψῶσι καθαιρόμενοι, οὐ παύονται πρὶν ἢ διψήσωσιν.

20 Ἀπυρέτοισιν ἐοῦσιν, ἢν γένηται στρόφος, καὶ γουνάτων βάρος, καὶ ὀσφύος ἄλγημα, κάτω φαρμακείης δεῖσθαι σημαίνει.

H 21 Ὑποχωρήματα μέλανα οἷον εἰ αἷμα μέλαν ἀπ᾽ αὐτομάτου ἰόντα, καὶ ξὺν πυρετῷ, καὶ ἄνευ πυρετοῦ κάκιστα. καὶ ὁκόσῳ ἂν τὰ χρώματα πονηρότερα ᾖ, μᾶλλον κάκιον. σὺν φαρμάκῳ δὲ ἄμεινον. καὶ ὁκόσῳ ἂν πλείω χρώματα, οὐ πονηρά. Νοσημάτων ὁκόσων ἀρχομένων χολὴ μέλαινα ἢ ἄνω ἢ κάτω ἐπέλθῃ, θανάσιμον.

Sectio quarta.

1 Vterum gerentibus medicamenta purgantia ſunt exhibenda, ſi humor impetu fertur ad excretionem, quarto menſe, & ad ſeptimum vſque, his tamen minùs. In minoribus autem & grandioribus fœtibus ſubtimidè ſe gerere oportet.

2 In medicamentorum purgantium vſu, qualia etiam ſponte prodeuntia vtilia ſunt, talia è corpore educere conuenit, quæ verò contrario modo prodeunt, cohibere.

3 Si quæ purgari decet, purgentur, confert & leuiter ferunt, contra verò, grauiter.

4 Æſtate quidem ſuperiores ventres potiùs medicamentis repurgato, hyeme verò inferiores.

5 Sub canis ortum & ante canis ortum, moleſtæ ſunt per medicamenta purgationes.

6 Graciles & facili vomitione vtentes, medicamento per ſuperiora purgare oportet, reformidantes hyemem.

7 At difficili vomitione vtentes & modicè carnoſos, per inferiora, æſtatem reformidantes.

8 Tabeſcentes verò, reformidantes per ſuperiora purgationes.

9 Atra bile abundantes largiùs per inferiora, ſimili ratione adhibita contraria purgandi via.

10 In valde acutis ſi ſuopte impetu ad excretionem humor feratur, medicamento purgante eodem die vtendum. Siquidem in his cunctari malum.

11 Quibus inteſtina contorquentur, circa vmbilicum labores, & lumborum dolor adeſt, qui neque medicamento purgante, neq; alia ratione ſoluitur, in ſiccum hydropem confirmatur.

12 Quibus alui inteſtinorum læuitate infeſtantur, eos hyberno tempore per ſuperiora medicamento purgare, malum.

13 Qui veratro ſumpto non facilè per ſuperiora purgantur, iis ante potionem corpora copioſiore cibo & quiete præhumectato.

14 Vbi quis veratrum potione ſumpſerit, corporum quidem motiones magis quàm ſomnum & quietem inducito. Nam vel nauigatio turbari motione corpora indicat.

15 Vbi veratrum magis ducere voles, corpus moueto, vbi verò ſiſtere, ſomnum conciliato, neque moueto.

16 Veratrum iis qui ſano ſunt corpore periculoſum, conuulſionem enim inducit.

17 Si cui ſine febre, cibi faſtidium, oris ventriculi morſus, tenebricoſa vertigo contigerit, & os amarulentum fuerit, hæc neceſſariam eſſe per ſuperiora purgationem indicant.

18 Dolores ſupra ſeptum tranſuerſum purgationẽ indigentes, medicamentum quod per ſuperiora purget neceſſarium eſſe indicant. At qui ſepto tranſuerſo ſunt inferiores, per inferiora.

19 Qui ſumpta potione medica dum purgantur non ſitiunt, ij purgandi finem non faciunt, donec ſitiuerint.

20 Si dolor inteſtina torquens, & genuum grauitas, & lumborum dolor citra febrem adfuerint, medicamento quod per inferiora purgat opus eſſe ſignificant.

21 Nigræ deiectiones, qualis ſanguis niger, ſponte procedentes, & cum febre, & citra febrem, peſſimæ, eoq; peiores quo plures earum colores deteriores fuerint. A medicamento autem melius, quoq; plures colores fuerint non praui.

22 Per quorumuis morborum initia, bilem atram ſupra vel infra prodire, lethale.

23 Quibus per morbos acutos, aut diuturnos, aut vulnera, aut alium quemuis modum extenuatis, bilis atra, aut veluti ſanguis niger ſubierit, ij poſtridie moriuntur.

24 Inteſtinorum difficultas ſi ab atra bile ortum duxerit, lethalis.

25 Sanguis, ſupra quidem, qualiſcunque fuerit emiſſus, malus, infra autem, ſi niger deiiciatur, bonus.

26 Inteſtinorum difficultate vexato, ſi veluti caruneulæ deiiciantur, lethale.

27 Quibus per febres ſanguinis copia vndecunq; profluxerit, iis cùm reficiuntur alui humidiores euadunt.

28 Quibus biliosæ ſunt deiectiones, hæ oborta ſurditate ceſſant, & quibus adeſt ſurditas, his exortis bilioſis deiectionibus finitur.

29 In febribus ſi rigores contingant ſexto die, difficilem habent iudicationem.

30 Quibus acceſſiones fiunt, quanamcunq; hora febris dimiſerit, ſi poſtero die eadem qua antea hora prehenderit, iudicatio difficilis eſſe ſolet.

31 Quibus per febres laſſitudinis ſenſus ineſt, iis ad articulos, potiſſimumque circa maxillas abſceſſus oriuntur.

32 Iis verò qui ex morbis conualeſcunt, ſi pars aliqua laborauerit, illic abſceſſus fiunt.

33 Sed & ſi pars quæpiam ante morbum laborauerit, in eam ſe morbus obfirmat.

34 Si febre vexato, nullo exiſtente in faucibus tumore, repentina accidat ſtrangulatio, lethale.

35 In febre vexato, collum repente peruerſum, ac vix deglutire poſſe, nullo exiſtente tumore, lethale.

36 Sudores febricitantibus boni, qui cœperint tertio die, quinto, ſeptimo, nono, vndecimo, decimoquarto, decimoſeptimo, viceſimo primo, viceſimo ſeptimo, triceſimo primo, & triceſimo quarto, ij enim ſudores morbos iudicant. Qui verò tales non ſunt, laborem, & morbi longitudinem, eiuſdemque reuerſionem ſignificant.

37 Sudores frigidi in febre quidem acuta oborti, mortem; in mitiori autem, morbi prolixitatem ſignificant.

38 Et vbi in corpore ſudor ineſt, ibi morbum eſſe enunciat.

39 Et qua corporis parte calor ineſt aut frigus, ibi morbus eſt.

40 Et vbi toto corpore mutationes contingunt, vt ſi corpus refrigeretur, rurſumque caleſiat, vel color alius ex alio oriatur, morbi longitudinem ſignificat.

41 Sudor copioſus de ſomno citra manifeſtam cauſam obortus, corpus copioſiore vti cibo ſignificat. Quòd ſi cibum non aſſumenti iſtud contingat, quòd euacuatione opus ſit indicat.

42 Sudor copioſus calidus aut frigidus ſemper fluens, frigidus maiorem, calidus minorem morbum ſignificat.

23 Ὁκόσοισιν ἐκ νουσημάτων ὀξέων, ἢ ἐκ πολυχρονίων, ἢ ἐκ τρωμάτων, ἢ ἄλλως πῶς λεπτυνομένων, χολὴ μέλαινα, ἢ ὁκοῖον αἷμα μέλαν ἐπέλθῃ, τῇ ὑστεραίῃ ἀποθνήσκουσι. A

24 Δυσεντερίη ἢν ἀπὸ χολῆς μελαίνης ἄρξηται, θανάσιμον.

25 Αἷμα ἄνω μὲν ὁκοῖον ἂν ᾖ, κακόν, κάτω δὲ, ἀγαθόν. καὶ τὰ μέλανα ὑποχωρέοντα, κακόν. B

26 Ἢν ὑπὸ δυσεντερίης ἐχομένῳ, ὁκοῖαι αἱ σάρκες ὑποχωρήσωσι, θανάσιμον.

27 Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν αἱμοῤῥαγέει πλῆθος ὁκοθενοῦν, ἐν τῇσιν ἀναλήψεσι, τουτέοισιν αἱ κοιλίαι καθυγραίνονται.

28 Ὁκόσοισι χολώδεα τὰ διαχωρήματα, κωφώσιος γενομένης παύεται, καὶ ὁκόσοισι κώφωσις, χολωδέων γενομένων παύεται. C

29 Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἑκταίοισιν ἐοῦσι, ῥίγεα γίνονται, δύσκριτα.

30 Ὁκόσοισι παροξυσμοὶ γίνονται, ἣν ἂν ὥρην ἀφῇ, ἐς τὴν αὔριον τὴν αὐτὴν ὥρην ἢν λάβῃ, δύσκριτα.

31 Τοῖσι κοπιώδεσιν ἐν τοῖσι πυρετοῖσιν, ἐς ἄρθρα καὶ παρὰ τὰς γνάθους μάλιστα ἀποστάσιες γίνονται. D

32 Ὁκόσοισι δὲ ἀνισταμένοισιν ἐκ τῶν νούσων τι πονέσῃ, ἐνταῦθα ἀποστάσιες γίνονται.

33 Ἀτὰρ ἢν καὶ προπεπονηκός τι ᾖ πρὸ τοῦ νοσέειν, ἐνταῦθα στηρίζει ἡ νοῦσος.

34 Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι πνὶξ ἐξαίφνης ἐπιστῇ, θανάσιμον. E

35 Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐξαίφνης ἐπιστραφῇ, καὶ μόλις καταπίνειν δύνηται, οἰδήματος μὴ ἐόντος ἐν τῷ τραχήλῳ, θανάσιμον.

36 Ἱδρῶτες πυρεταίνουσιν ἢν ἄρξωνται, ἀγαθοὶ τριταῖοι. καὶ πεμπταῖοι. καὶ ἑβδομαῖοι. καὶ ἐναταῖοι. καὶ ἑνδεκαταῖοι. καὶ τεσσαρεσκαιδεκαταῖοι. καὶ ἑπτακαιδεκαταῖοι. καὶ μιῇ καὶ εἰκοστῇ. καὶ ἑβδόμῃ καὶ εἰκοστῇ. καὶ τριακοστῇ πρώτῃ. καὶ τριακοστῇ τετάρτῃ. οὗτοι γὰρ οἱ ἱδρῶτες, νούσους κρίνουσιν. οἱ δὲ μὴ οὕτως γινόμενοι, πόνον σημαίνουσι καὶ μῆκος νούσου, καὶ ὑποτροπιασμούς. F

37 Οἱ ψυχροὶ ἱδρῶτες, ξὺν μὲν ὀξεῖ πυρετῷ γινόμενοι, θάνατον. ξὺν πρηϋτέρῳ δὲ, μῆκος νούσου σημαίνουσι. G

38 Καὶ ὅκου ἔνι τοῦ σώματος ἱδρὼς, ἐνταῦθα φράζει τὴν νοῦσον.

39 Καὶ ὅκου ἔνι τοῦ σώματος θερμὸν ἢ ψυχρὸν, ἐνταῦθα ἡ νοῦσος.

40 Καὶ ὅκου ἐν ὅλῳ τῷ σώματι μεταβολαί, καὶ ἢν τὸ σῶμα καταψύχηται, ἢ αὖθις θερμαίνηται, ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου γίνηται, μῆκος νούσου σημαίνει. H

41 Ἱδρὼς πολὺς ἐξ ὕπνου ἄνευ τινὸς αἰτίης φανερῆς γινόμενος, τὸ σῶμα σημαίνει ὅτι πλείονι τροφῇ χρέεται. ἢν δὲ τροφὴν μὴ λαμβάνοντι τοῦτο γίνηται, σημαίνει ὅτι κενώσιος δέεται.

42 Ἱδρὼς πολὺς ψυχρὸς ἢ θερμὸς αἰεὶ ῥέων, ὁ ψυχρὸς, μείζω. ὁ δὲ θερμὸς, ἐλάσσω, νοῦσον σημαίνει.

43 Οἱ πυρετοὶ

A 43 Οἱ πυρετοὶ ὁκόσοι μὴ διαλείποντες διὰ τρίτης ἰσχυρότεροι γίνονται, ἐπικίνδυνοι. ὅτῳ δ' ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι.

44 Ὁκόσοισι πυρετοὶ μακροὶ, τουτέοισι φύματα ἐς τὰ ἄρθρα, ἢ πόνοι ἐγγίνονται.

45 Ὁκόσοισι φύματα ἐς τὰ ἄρθρα, ἢ πόνοι, ἐκ πυρετῶν γίνονται, οὗτοι σιτίοισι πλείοσι χρέονται.

B 46 Ἢν ῥῖγος ἐπιπίπτῃ πυρετῷ μὴ διαλείποντι, ἤδη ἀσθενέος ἐόντος, θανάσιμον.

47 Αἱ ἀποχρέμψιες αἱ ἐν τοῖσι πυρετοῖσι μὴ διαλείπουσιν αἱ πελιδναὶ, καὶ αἱματώδεες, καὶ δυσώδεες, καὶ χολώδεες πᾶσαι κακαί. ἀποχωρέουσαι δὲ καλῶς ἀγαθαὶ, καὶ κατὰ τὰς διαχωρήσιας, καὶ κατὰ τὰ οὖρα. ἢν δὲ μή τι τῶν συμφερόντων ἐκκρίνηται διὰ τῶν τόπων τούτων, κακόν.

C 48 Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δὲ ἔνδον καίηται, καὶ δίψαν ἔχῃ, θανάσιμον.

49 Ἐν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος, ἢ ὀφρὺς, ἢ ὀφθαλμὸς, ἢ ῥὶς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ, ἀσθενέος ἐόντος τοῦ κάμνοντος, ὅ, τι ἂν τούτων γένηται, ἐγγὺς ὁ θάνατος.

D 50 Ὅκου ἐν πυρετῷ μὴ διαλείποντι δύσπνοια γίνηται καὶ παραφροσύνη, θανάσιμον.

51 Ἐν τοῖσι πυρετοῖσιν ἀποστήματα μὴ λυόμενα πρὸς τὰς πρώτας κρίσιας, μῆκος νόσου σημαίνει.

52 Ὁκόσοι ἐν τοῖσι πυρετοῖσιν, ἢ ἐν τῇσιν ἄλλῃσιν ἀρρωστίῃσι κατὰ προαίρεσιν δακρύουσιν, οὐδὲν ἄτοπον. ὁκόσοι δὲ μὴ κατὰ προαίρεσιν, ἀτοπώτερον.

E 53 Ὁκόσοισι δὲ ἐπὶ τῶν ὀδόντων ἐν τοῖσι πυρετοῖσι περιγλίσχρασμα γίνεται, ἰσχυρότεροι γίνονται οἱ πυρετοί.

54 Ὁκόσοισιν ἐπὶ πολὺ βῆχες ξηραὶ βραχέα ἐρεθίζουσαι ἐν πυρετοῖσι καυσώδεσιν, οὐ πάνυ διψώδεές εἰσιν.

55 Οἱ ἐπὶ βουβῶσι πυρετοὶ, πάντες κακοὶ, πλὴν τῶν ἐφημέρων.

F 56 Πυρέσσοντι ἱδρὼς ἐπιγενόμενος, μὴ ἐκλείποντος τοῦ πυρετοῦ κακόν. μηκύνει γὰρ ἡ νοῦσος, καὶ ὑγρασίην πλείω σημαίνει.

57 Ὑπὸ σπασμοῦ ἢ τετάνου ἐνοχλουμένῳ πυρετὸς ἐπιγενόμενος λύει τὸ νόσημα.

58 Ὑπὸ καύσου ἐχομένῳ ἐπιγενομένου ῥίγεος λύσις.

G 59 Τριταῖος ἀκριβὴς κρίνεται ἐν ἑπτὰ περιόδοισι τὸ μακρότατον.

60 Ὁκόσοισιν ἂν ἐν τοῖσι πυρετοῖσι τὰ ὦτα κωφωθῇ, αἷμα ἐκ ῥινῶν ῥυὲν, ἢ κοιλίη ἐκταραχθεῖσα, λύει τὸ νόσημα.

61 Πυρέσσοντι ἢν μὴ ἐν περισσῇσιν ἡμέρῃσιν ἀφῇ ὁ πυρετὸς, ὑποστρέφειν εἴωθεν.

H 62 Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἴκτεροι ἐπιγίνονται πρὸ τῶν ἑπτὰ ἡμερῶν, κακὸν, ἢν μὴ ξυνδόσιες ὑγρῶν κατὰ τὴν κοιλίην γένωνται.

63 Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι, τῇ ἑβδόμῃ, ἢ τῇ ἐνάτῃ, ἢ τῇ τεσσαρεσκαιδεκάτῃ ἴκτεροι ἐπιγίνονται, ἀγαθὸν, ἢν μὴ τὸ δεξιὸν ὑποχόνδριον σκληρὸν ᾖ. ἢν δὲ μὴ, οὐκ ἀγαθόν.

64 Ἐν τοῖσι πυρετοῖσι περὶ τὴν κοιλίην καῦμα ἰσχυρὸν, καὶ καρδιωγμὸς, κακόν.

43 Febres quæ tertio quoque die vehementiùs affligunt,neque intermittunt, periculoſiores. Quocunque autem modo intermiſerint,extra periculum eſſe ſignificant.

44 Quibus adſunt febres longæ,iis tubercula, vel ad articulos dolores innaſcuntur.

45 Quibus tubercula aut ad articulos dolores poſt febres longas oriuntur, ij copioſioribus cibis vtuntur.

46 Si febre non intermittente rigor frequenter incidat, ægro iam debili, lethale eſt.

47 In febribus non intermittentibus excreationes liuidæ,ſanguineæ,graueolentes,& bilioſę,omnes malæ,bene autem ſi prodeant,bonæ, tum per alui excretiones,tum per vrinas. At ſi quid eorum quæ non iuuant per hæc loca excernatur, malum.

48 In febribus non intermittentibus, ſi partes externæ ſint frigidæ,internæ verò vrantur & ſiti vexentur, lethale eſt.

49 In febre non intermittente, ſi labrum, aut ſupercilium,aut oculus,aut naſus peruertatur,ſi non videat,ſi non audiat, imbecillo iam corpore, quicquid ex his euenerit,in propinquo mors eſt.

50 Quando in febre non intermittente difficultas ſpirandi & delirium contigerit, lethale.

51 In febribus quæ abſcedunt ſi primis iudicationibus non ſoluantur, morbi longitudinem ſignificant.

52 Quibus in febribus aut aliis morbis oculi ex voluntate illachrymant,nihil abſurdi accidit.At quibus præter voluntatem, abſurdius.

53 Quibus per febres ad dentes glutinoſus humor obnaſcitur, iis vehementiores fiunt febres.

54 Quibus tuſſes ſiccæ leuiter irritantes in febribus ardentibus diu perſeuerant, ij non multum ſiti vexantur.

55 Ex glandularum inflammationibus febres omnes malæ præter diarias.

56 Febricitanti ſi ſudor contingat non deficiente febre,malum.Prorogatur enim morbus multamq; ſignificat humiditatem.

57 Si cui conuulſione aut diſtentione neruorum detento,febris ſucceſſerit,morbum ſoluit.

58 Febre ardente detento, ſi rigor ſucceſſerit, ſolutio contingit.

59 Tertiana exquiſita ſeptem circuitibus, vt longiſſimè, iudicatur.

60 Quibus per febres aures obſurduerunt, ſanguis ex naribus profluens, aut aluus exturbata, morbum ſoluit.

61 Febricitantem, niſi diebus imparibus febris dimiſerit, reuerti ſolet.

62 Quibus per febres morbus regius ante diem ſeptimum obortus fuerit, malum.

63 Quibus per febres die ſeptimo, aut nono, aut vndecimo, aut decimo quarto, morbus regius obortus fuerit,bonum, niſi præcordia dextra dura fuerint, alioqui minimè bonum.

64 In febribus circa ventriculum æſtus vehemens, & oris ventriculi morſus,malo eſt.

65 In febribus acutis conuulſiones, & circa viſcera dolores vehementes, malum.

66 In febribus per ſomnos pauores, aut conuulſiones, malo ſunt.

67 In febribus ſpiritus offenſans, malo eſt, conuulſionem nanq; indicat.

68 Quibus non ſine febre vrinæ ſunt craſſæ, grumoſæ & paucæ, ſi ab iis copioſæ & tenues prodeant, iuuant. Præcipuè verò tales redduntur quibus ab initio, vel non ita multo poſt, ſedimentum ineſt.

69 Quibus per febres vrinæ ſunt returbidæ, quales veterini generis, iis capitis dolor vel adeſt, vel aderit.

70 Quibus ſeptimo die iudicatio contingit, iis vrina rubram die quarto nubeculam habet, aliaq; pro ratione.

71 Quibus vrinæ pellucidæ, albæ, malæ, præcipuè verò in phreniticis apparent.

72 Quibus ſublata præcordia murmurant, lumborum ſuccedente dolore, iis alui humectantur, niſi flatus deorſum erumpant, aut vrinæ copia prodeat. Atq; hæc in febribus contingunt.

73 Quibus ſperatur aliquid ad articulos abſceſſurum, vrina copioſa & craſſa, & alba reddita, abſceſſu liberat, qualis in febribus cum laſſitudinis ſenſu quarto die quibuſdam ferri incipit. Quòd ſi ex naribus etiam ſanguis effluxerit, tum breui admodum ſolutio fit.

74 Si ſanguis aut pus cum vrina redditur, renum aut veſicæ exulceratio ſignificatur.

75 Quibus cum vrina craſſa exiguæ carunculæ, aut veluti capilli ſimul feruntur, iis à renibus excernuntur.

76 Quibus cum vrina craſſa furfuri ſimilia quædam ſimul exeunt, iis veſica pſora laborat.

77 Qui ſponte ſanguinem cum vrina effundunt, iis in renibus venulam ruptam eſſe ſignificat.

78 Quibus in vrina arenoſæ ſunt ſubſidentiæ, iis veſica calculo laborat.

79 Si quis ſanguinem & grumos cum vrina fundat, & ſtranguriam habeat, dolorq; in imum ventrem & interfœmineum incidat, quæ ad veſicam attinent laborant.

80 Si quis ſanguinem & pus, & ſquamulas cum vrina fundat, grauiſq; odor adſit, veſicæ exulcerationem ſignificat.

81 Quibus in vrinæ fiſtula tuberculum innaſcitur, eo in pus verſo & rupto, ſolutio contingit.

82 Vrina copioſè de nocte reddita, paucam alui deiectionem ſignificat.

Sectio quinta.

1 Conuulſio ex veratro, lethalis.

2 Conuulſio quæ in vulnus incidit, lethalis.

3 Ex copioſo ſanguinis fluxu conuulſio aut ſingultus contingens, malum denunciat.

4 Ex profuſa purgatione conuulſio aut ſingultus ſuccedens, malum.

5 Si ebrium quempiam vox deficiat derepente, conuulſus moritur, niſi eum febris prehendat, aut qua hora crapula ſolui ſolet, ad vocem redeat.

65 Ἐν τοῖσι πυρετοῖσι τοῖσιν ὀξέσιν, οἱ σπασμοὶ, καὶ οἱ A
περὶ τὰ σπλάγχνα πόνοι ἰσχυροὶ, κακόν.

66 Ἐν τοῖσι πυρετοῖσιν οἱ ἐκ τῶν ὕπνων φόβοι, ἢ σπασμοὶ, κακόν.

67 Ἐν τοῖσι πυρετοῖσι τὸ πνεῦμα προσκόπτον, κακόν· σπασμὸν γὰρ σημαίνει.

68 Ὁκόσοισιν οὖρα παχέα θρομβώδεα ὀλίγα οὐκ ἀπυρέτοισι, πλῆθος ἐπελθὸν ἐκ τουτέων λεπτὸν, ὠφελέει· B
μάλιστα δὲ τὰ τοιαῦτα ἔρχεται, οἷσιν ἐξ ἀρχῆς, ἢ διὰ ταχέων ὑπόστασιν ἴσχει.

69 Ὁκόσοισι δὲ ἐν πυρετοῖσι τὰ οὖρα ἀνατεταραγμένα οἷον ὑποζυγίου, τουτέοισι κεφαλαλγίαι ἢ πάρεισιν, ἢ παρέσονται.

70 Ὁκόσοισιν ἑβδομαῖα κρίνεται, τουτέοισιν ἐπινέφελον ἴσχει τὸ οὖρον, τῇ τετάρτῃ ἐρυθρὸν, καὶ τἄλλα κατὰ C
λόγον.

71 Ὁκόσοισιν οὖρα διαφανέα λευκὰ, πονηρά. μάλιστα δὲ ἐν τοῖσι φρενιτικοῖσιν ἐπιφαίνεται.

72 Ὁκόσοισιν ὑποχόνδρια μετέωρα διαβορβορύζοντα ὀσφύος ἀλγήματος ἐπιγενομένου, αἱ κοιλίαι τουτέοισι καθυγραίνονται. ἢν μὴ φῦσαι καταρραγέωσιν, ἢ οὔρου πλῆθος ἐπέλθῃ. ἐν πυρετοῖσι δὲ ταῦτα.

73 Ὁκόσοισιν ἐλπὶς ἐς ἄρθρα ἀφίστασθαι, ῥύεται τῆς D
ἀποστάσιος οὖρον πολὺ, καὶ παχὺ, καὶ λευκὸν γενόμενον, οἷον ἐν τοῖσι κοπιώδεσι πυρετοῖσι τεταρταίοισιν ἄρχεται ἐνίοισι γίνεσθαι. ἢν δὲ καὶ ἐκ τῶν ῥινῶν αἱμορραγήσῃ, καὶ πάνυ ταχὺ λύεται.

74 Ἢν αἷμα ἢ πῦον οὐρέῃ, τῶν νεφρῶν ἢ τῆς κύστιος ἕλκωσιν σημαίνει. E

75 Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι σαρκία μικρὰ ὥσπερ τρίχες συνεξέρχονται, τουτέοισιν ἀπὸ τῶν νεφρῶν ἐκκρίνεται.

76 Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι πιτυρώδεα συνεξουρέεται, τουτέοισιν ἡ κύστις ψωριᾷ.

77 Ὁκόσοι ἀπὸ ταὐτομάτου αἷμα οὐρέουσι, τουτέοισιν ἀπὸ τῶν νεφρῶν φλεβίου ῥῆξιν σημαίνει. F

78 Ὁκόσοισιν ἐν τῷ οὔρῳ ψαμμώδεα ὑφίσταται, τουτέοισιν ἡ κύστις λιθιᾷ.

79 Ἢν αἷμα οὐρέῃ καὶ θρόμβους, καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸ ὑπογάστριον καὶ ἐς τὸν περίνεον, τὰ περὶ τὴν κύστιν πονεῖ.

80 Ἢν αἷμα καὶ πῦον οὐρέῃ, καὶ λεπίδας, καὶ ὀσμὴ βαρεῖα ᾖ, τῆς κύστιος ἕλκωσιν σημαίνει. G

81 Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φύματα φύεται, τουτέοισι διαπυήσαντος καὶ ἐκραγέντος, λύσις.

82 Οὔρησις νύκτωρ πολλὴ γινομένη, σμικρὴν τὴν ὑποχώρησιν σημαίνει.

ΤΜΗΜΑ ΠΕΜΠΤΟΝ.

1 Σπασμὸς ἐξ ἐλλεβόρου, θανάσιμον. H

2 Ἐπὶ τρώματι σπασμὸς ἐπιγενόμενος, θανάσιμον.

3 Αἵματος πολλοῦ ῥυέντος κάτω σπασμὸς ἢ λυγμὸς ἐπιγενόμενος, κακόν.

4 Ἐπὶ ὑπερκαθάρσει σπασμὸς ἢ λυγμὸς ἐπιγενόμενος, κακόν.

5 Ἢν μεθύων ἐξαίφνης ἄφωνός τις γένηται, σπασθεὶς ἀποθνήσκει, ἢν μὴ πυρετὸς ἐπιλάβῃ, ἢ ἐς τὴν ὥρην ἐλθὼν, καθ' ἣν αἱ κραιπάλαι λύονται, φθέγξηται.

A ⁶ Ὁκόσοι ὑπὸ τετάνου ἁλίσκονται, ἐν τέσσαρσιν ἡμέρῃσιν ἀπόλλυνται, ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται.

⁷ Τὰ ἐπιληπτικὰ ὁκόσοισι πρὸ τῆς ἥβης γίνεται, μετάστασιν ἴσχει. ὁκόσοισι δὲ πέντε καὶ εἴκοσιν ἐτέων γίνεται, τουτέοισι τὰ πολλὰ ξυναποθνήσκει.

⁸ Ὁκόσοι πλευριτικοὶ γενόμενοι οὐκ ἀνακαθαίρονται B ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι, τουτέοισιν ἐς ἐμπύημα καθίσταται.

⁹ Φθίσις γίνεται μάλιστα ἡλικίῃσι τῇσιν ἀπὸ ὀκτωκαίδεκα ἐτέων μέχρι πέντε καὶ τριήκοντα ἐτέων.

¹⁰ Ὁκόσοι κυνάγχην διαφεύγουσι, ἐς τὸν πλεύμονα αὐτέοισι τρέπεται, καὶ ἐν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκουσιν. ἢν δὲ ταύτας διαφύγωσιν, ἔμπυοι γίνονται.

C ¹¹ Τοῖσιν ὑπὸ τῶν φθισίων ἐνοχλουμένοισιν, ἢν τὸ πτύσμα ὅπερ ἂν ἀποβήσσωσι, βαρὺ ὄζῃ ἐπὶ τοὺς ἄνθρακας ἐπιχεόμενον, καὶ αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέωσι, θανατῶδες.

¹² Ὁκόσοισι φθισιῶσιν αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέουσιν, οὗτοι διαρροίης ἐπιγενομένης, ἀποθνήσκουσιν.

¹³ Ὁκόσοι αἷμα ἀφρῶδες ἀναπτύουσι, τουτέοισιν ἐκ D τοῦ πλεύμονος ἡ τοιαύτη ἀναγωγὴ γίνεται.

¹⁴ Ὑπὸ φθίσιος ἐχομένῳ, διάρροια ἐπιγενομένη, θανατῶδες.

¹⁵ Ὁκόσοι ἐκ πλευρίτιδος ἔμπυοι γίνονται, ἢν ἀνακαθαρθῶσιν ἐν τεσσαράκοντα ἡμέρῃσιν, ἀφ' ἧς ἂν ἡ ῥῆξις γένηται, παύονται, ἢν δὲ μή, ἐς φθίσιν μεθίστανται.

E ¹⁶ Τὸ θερμὸν βλάπτει ταῦτα πλεονάκις χρεομένοισι. σαρκῶν ἐκθήλυνσιν. νεύρων ἀκράτειαν. γνώμης νάρκωσιν. αἱμορραγίας. λειποθυμίας. ταῦτα οἷσι θάνατος.

¹⁷ Τὸ δὲ ψυχρὸν, σπασμοὺς, τετάνους, μελασμοὺς καὶ ῥίγεα πυρετώδεα.

¹⁸ Τὸ ψυχρὸν πολέμιον ὀστέοισιν, ὀδοῦσι. νεύροις. ἐγκεφάλῳ. νωτιαίῳ μυελῷ. τὸ δὲ θερμὸν ὠφέλιμον.

F ¹⁹ Ὁκόσα κατέψυκται, ἐκθερμαίνειν, πλὴν ὁκόσα αἱμορραγέει ἢ μέλλει.

²⁰ Ἕλκεσι τὸ μὲν ψυχρὸν δακνῶδες. δέρμα περισκληρύνει. ὀδύνην ἀνεκπύητον ποιέει. μελαίνει. ῥίγεα πυρετώδεα ποιέει, σπασμοὺς καὶ τετάνους.

²¹ Ἔστι δὲ ὅκου ἐπὶ τετάνου ἄνευ ἕλκεος νέῳ εὐσάρκῳ, θέρεος μέσου, ψυχροῦ πολλοῦ κατάχυσις ἐπανάκλησιν θέρμης ποιέεται. θέρμη δὲ ταῦτα ῥύεται.

G ²² Τὸ θερμὸν ἐκπυητικὸν, οὐκ ἐπὶ παντὶ ἕλκει, μέγιστον σημεῖον ἐς ἀσφάλειαν. δέρμα μαλθάσσει. ἰσχναίνει. ἀνώδυνον, ῥιγέων, σπασμῶν, τετάνων παρηγορικόν. τὴν δὲ ἐν τῇ κεφαλῇ καρηβαρίην λύει. πλεῖστον δὲ διαφέρει ὀστέων κατήγμασι. μάλιστα δὲ τοῖσιν ἐψιλωμένοισι. τουτέων H δὲ μάλιστα, τοῖσιν ἐν κεφαλῇ ἕλκεα ἔχουσι. καὶ ὁκόσα ὑπὸ ψύξιος θνήσκει, ἢ ἑλκοῦται. καὶ ἕρπησιν ἐσθιομένοισιν. ἕδρῃ. αἰδοίῳ. ὑστέρῃ. κύστει. τουτέοισι τὸ μὲν θερμὸν φίλιον καὶ κρῖνον. τὸ δὲ ψυχρὸν πολέμιον καὶ κτεῖνον.

²³ Ἐν τουτέοισι δεῖ τῷ ψυχρῷ χρέεσθαι, ὁκόθεν αἱμορραγέει, ἢ μέλλει, μὴ ἐπ' αὐτὰ, ἀλλὰ περὶ αὐτὰ ὁκόθεν ἐπιρρεῖ. καὶ ὁκόσαι φλεγμοναὶ, ἢ ἐπιφλογίσματα ἐς τὸ ἐρυθρὸν καὶ ὕφαιμον ῥέποντα νεαρῷ αἵματι, ἐπὶ ταῦτα. ἐπεὶ τά γε παλαιὰ μελαίνει. καὶ ἐρυσίπελας τὸ μὴ ἑλκούμενον. ἐπεὶ τό γε ἑλκούμενον βλάπτει.

6 Qui neruorum diſtentione corripiuntur intra quatuor dies pereunt, quos ſi effugerint, ſaneſcunt.

7 Comitiales quibus ante pubertatis annos contingunt, depoſitionem accipiunt. At quibus quintum & vigeſimum annum agentibus fiunt, eos ferè ad mortem vſq; comitantur.

8 Qui morbo laterali laborant; niſi intra dies quatuordecim repurgentur, iis in ſuppurationem deponitur.

9 Tabes præcipuè contingit ætatibus quæ ſunt ab anno decimo octauo ad trigeſimum quintum.

10 Qui anginam effugiunt, iis in pulmonem vertitur, & intra dies ſeptem intereunt, quos ſi euaſerint ſuppurati fiunt.

11 In tabe vexatis, ſi ſputum quod tuſſi reiiciunt carbonibus infuſum grauem odorem emittat, & capilli è capite defluant, lethale eſt.

12 In tabidis ſi capilli è capite defluant, ij ſuccedente alui profluuio moriuntur.

13 Qui ſpumantem ſanguinem ſputo reiiciunt, iis ex pulmone educitur.

14 Tabe detento ſuccedens alui profluuium lethale.

15 Qui ex morbo laterali ſuppurati fiunt, ſi intra dies quadraginta, ex quo ruptio facta eſt, repurgentur, liberantur, alioqui in tabem tranſeunt.

16 Calidum eo frequentiùs vtentibus has affert noxias, carnium effœminationem, neruorum impotentiam, mentis ſtuporem, ſanguinis profluuia, animi defectiones, ad quæ mors ſequitur.

17 Frigidum verò conuulſiones, neruorum diſtentiones, denigrationes, & rigores febriles.

18 Frigidum oſſibus aduerſum, dentibus, neruis, cerebro, dorſali medullæ. calidum verò vtile.

19 Perfrigerata excalefacere oportet, præter ea quæ ſanguinem effundunt, aut breui effundent.

20 Frigidum vlcera mordet, cutem obdurat, dolorem inſuppurabilem facit, denigrationes, rigores febriles, conuulſiones, neruorum diſtentiones.

21 Quandoque tamen in neruorum diſtentione abſque vlcere, in iuuene quadrati corporis, æſtate media, frigidæ copioſa perfuſio caloris reuocationem efficit, calor autem hæc ſanat.

22 Calidum ſuppurationem mouens, non in omni vlcere, maximum ſecuritatis iudicium exhibet, cutem emollit, extenuat, dolorem tollit, rigores, cõuulſiones, neruorum diſtentiones mitigat, capitis grauitatem ſoluit, oſſium verò fracturis plurimum confert, ſed præcipuè his quæ carne nudata ſunt, iiſq; maximè qui in capite vlcera habent. His etiam quæ à frigore emoriuntur, aut exulcerantur, & herpetibus exedentibus, ſedi, pudendo, vtero, veſicæ, iis omnibus calidum gratum & iudicationem faciens, frigidum verò inimicum & interimens.

23 At frigido in his vtendum vnde ſanguis profluit, aut paulò poſt fluxurus eſt, non ſupra ipſas partes, ſed circa eas vnde profluit adhibito. Et ſi quæ inflammationes, aut incendioſa quædam ad rubrum & ſubcruentum ex recenti ſanguine vergunt, ad ea admoto. Inueterata nanq; denigrat. Eryſipelas etiam non vlceratum iuuat, ſiquidem exulceratum lædit.

24 Frigida veluti nix & glacies pectori ſunt aduerſa, tuſſes mouent, ſanguinis eruptiones & deſtillationes efficiunt.

25 Articulorum tumores & dolores abſq; vlcere, & podagricas affectiones, & conuulſa, hæc magna ex parte frigida largè effuſa leuat & minuit, doloremq; ſoluit. Moderatus nanq; torpor dolorem ſoluendi facultatem habet.

26 Aqua quæ citò caleſcit & citò refrigeratur, leuiſſima.

27 Quibus bibendi de nocte appetentia eſt, iis admodum ſitientibus ſi obdormierint, bono eſt.

28 Odoramentorum ſuffitus muliebria educit, & ad alia plærunque vtilis eſſet, niſi capitis grauitatem inferret.

29 Vterum gerentibus purgantia medicamenta exhibenda ſunt, ſi humor impetu feratur ad excretionem, quarto menſe, & ad ſeptimum vſque, ſed his minus. In maioribus autem & grandioribus fœtibus ſubtimidè ſe gerere oportet.

30 Mulierem vtero gerentem morbo quopiam acuto corripi, lethale.

31 Mulieri vterum gerenti vena ſecta abortionem facit, idq; potiſſimum ſi fœtus grandior fuerit.

32 Mulieri ſanguinem vomitione reiicienti, menſtruis erumpentibus ſolutio contingit.

33 Mulieri menſtruis deficientibus ſanguis ex naribus profluens, bono eſt.

34 Mulieri vtero gerenti, ſi aluus multum profluat, abortionis periculum eſt.

35 Mulieri vteri ſtrangulatu vexatæ, aut difficultate partus laboranti, ſternutatio ſuccedens bono eſt.

36 Mulieri menſes decolores, neque ſemper eadem periodo procedentes, purgationem indicant eſſe neceſſariam.

37 Mulieri vtero gerenti ſi mammæ de repente graciles cant, abortionis periculum eſt.

38 Mulieri vtero gemellos gerenti, ſi altera mamma gracilis euadat, alterum abortu edit, & ſi quidem dextra mamma gracileſcat, marem, ſi verò ſiniſtra, fœminam.

39 Si mulier quæ neque grauida eſt, neque peperit, lac habet, ei menſtrua defecerunt.

40 Mulieribus quibus ad mammas ſanguis in tumorem colligitur, furor ſignificatur.

41 Si noſſe velis num mulier conceperit, ei dormituræ aquam mulſam propinato, & ſi ventris tormina eam corripuerint, concepit, ſin minùs, non concepit.

42 Mulier prægnans, ſi marem geſtat, coloratior eſt, ſi fœminam, minùs colorata.

43 Mulieri prægnanti eryſipelas in vtero, lethale.

44 Quæ præter naturam tenues vtero gerunt, abortiunt donec pleniores euadant.

45 Quæ mediocri corporis habitu præditæ, fœtus bimeſtres aut trimeſtres abſq; occaſione manifeſta abortione excludunt, iis vteri acetabula (Græci *κοτυληδόνας* vocant) mucoris plena ſunt, neq; præ pondere fœtum continere poſſunt, ſed abrumpuntur.

46 Quæ præter naturam craſſæ non concipiunt, iis omentum os vteri comprimit, neque priùs quàm extenuentur, prægnantes efficiuntur.

47 *Si vterus qua parte ad coxam incumbit, ſuppuratus fuerit, eum per linimenta medicamento conuenienti illita curari neceſſe eſt.*

24 Τὰ ψυχρὰ οἷον χιὼν, κρύσταλλος, τῷ στήθει πολέμια, A
βηχέων κινητικὰ, αἱμαῤῥοϊκὰ, καταῤῥοϊκά.

25 Τὰ δὲ ἐν ἄρθροισιν οἰδήματα καὶ ἀλγήματα, ἄτερ ἕλκεος, καὶ ποδαγρικὰ καὶ σπάσματα, τουτέων τὰ πλεῖστα ψυχρὸν πολλὸν καταχεόμενον, ῥηΐζει τε καὶ ἰσχναίνει, καὶ ὀδύνην λύει. νάρκη γὰρ μετρίη ὀδύνης λυτική.

26 Ὕδωρ τὸ ταχέως θερμαινόμενον, καὶ ταχέως ψυχόμενον, κουφότατον. B

27 Ὁκόσοισι δὲ πιεῖν ὀρέξιες νύκτωρ τοῖσι πάνυ διψῶσι, ἢν ἐπικοιμηθῶσιν, ἀγαθόν.

28 Γυναικείων ἀγωγὸν ἡ ἐν ἀρώμασι πυρίη, πολλαχῆ δὲ καὶ εἰς ἄλλα χρησίμη ἂν ἦν, εἰ μὴ καρηβαρίας ἐνεποίει.

29 Τὰς κυούσας φαρμακεύειν, ἢν ὀργᾷ, τετράμηνα, καὶ ἄχρι ἑπτὰ μηνῶν ἧσσον. τὰ δὲ νήπια καὶ πρεσβύτερα εὐλαβέεσθαι. C

30 Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ὑπό τινος τῶν ὀξέων νοσημάτων ληφθῆναι, θανατῶδες.

31 Γυνὴ ἐν γαστρὶ ἔχουσα φλεβοτομηθεῖσα ἐκτιτρώσκει, καὶ μᾶλλον εἰ μεῖζον εἴη τὸ ἔμβρυον.

32 Γυναικὶ αἷμα ἐμεούσῃ, τῶν καταμηνίων ῥαγέντων λύσις.

33 Γυναικὶ τῶν καταμηνίων ἐκλειπόντων, αἷμα ἐκ τῶν ῥινῶν ῥυῆναι, ἀγαθόν. D

34 Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν ἡ κοιλίη πολλὰ ῥυῇ, κίνδυνος ἐκτρῶσαι.

35 Γυναικὶ ὑπὸ ὑστερικῶν ἐνοχλουμένῃ, ἢ δυστοκούσῃ, πταρμὸς ἐπιγενόμενος ἀγαθόν.

36 Γυναικὶ τὰ καταμήνια ἄχροα, καὶ μὴ κατὰ τὰ αὐτὰ αἰεὶ γινόμενα, καθάρσιος δεῖσθαι σημαίνει. E

37 Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν οἱ μαστοὶ ἐξαίφνης ἰσχνοὶ γένωνται, ἐκτιτρώσκει.

38 Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν ὁ ἕτερος μαστὸς ἰσχνὸς γένηται, δίδυμα ἐχούσῃ, θάτερον ἐκτιτρώσκει. καὶ ἢν μὲν ὁ δεξιὸς ἰσχνὸς γένηται, τὸ ἄρσεν. ἢν δὲ ὁ ἀριστερὸς, τὸ θῆλυ.

39 Ἢν γυνὴ μὴ κύουσα, μηδὲ τετοκυῖα γάλα ἔχῃ, ταύτῃ τὰ καταμήνια ἐκλέλοιπε. F

40 Γυναιξὶν ὁκόσῃσιν ἐς τοὺς τιτθοὺς αἷμα συστρέφεται, μανίην σημαίνει.

41 Γυναῖκα ἢν θέλῃς εἰδέναι εἰ κύει, ἐπὴν καθεύδειν μέλλῃ ἄδειπνος ἐοῦσα, μελίκρητον διδόναι πιεῖν. κἢν μὲν στρόφος αὐτὴν ἔχῃ περὶ τὴν γαστέρα, κύει. ἢν δὲ μὴ, οὐ κύει.

42 Γυνὴ ἔγκυος εἰ μὲν ἄρρεν κύει, εὔχροός ἐστιν. ἢν δὲ G θῆλυ, δύσχροος.

43 Ἢν γυναικὶ κυούσῃ ἐρυσίπελας ἐν τῇ ὑστέρῃ γένηται, θανατῶδες.

44 Ὁκόσαι παρὰ φύσιν λεπταὶ ἐοῦσαι ἐν γαστρὶ ἔχουσιν, ἐκτιτρώσκουσι, πρὶν ἢ παχυνθῆναι.

45 Ὁκόσαι δὲ μετρίως τὸ σῶμα ἔχουσαι ἐκτιτρώσκουσι δίμηνα καὶ τρίμηνα ἄτερ προφάσιος φανερῆς, ταύτῃσιν H αἱ κοτυληδόνες μύξης μεσταί εἰσι. καὶ οὐ δύνανται κρατεῖν ὑπὸ τοῦ βάρεος τὸ ἔμβρυον, ἀλλ᾽ ἀποῤῥήγνυνται.

46 Ὁκόσαι παρὰ φύσιν παχεῖαι ἐοῦσαι μὴ ξυλλαμβάνουσιν ἐν γαστρὶ, ταύτῃσι τὸ ἐπίπλοον τὸ στόμα τῶν ὑστερέων ἀποπιέζει, καὶ πρὶν ἢ λεπτυνθῆναι οὐ κύουσιν.

47 Ἢν ὑστέρη ἐν τῷ ἰσχίῳ ἐγκειμένη διαπυήσῃ, ἀνάγκη ἔμμοτον γίνεσθαι.

48 Ἔμβρυα

A 48 Ἔμβρυα τὰ μὲν ἄρσενα ἐν τοῖσι δεξιοῖσι. τὰ δὲ θήλεα ἐν τοῖσιν ἀριστεροῖσι μᾶλλον.

49 Ὑστέρων ἐκπτώσιας πταρμικὸν προσθεὶς, ἐπιλαμβάνειν τοὺς μυκτῆρας καὶ τὸ στόμα.

50 Γυναικὶ τὰ καταμήνια ἢν βούλῃ ἐπισχεῖν, σικύην ὡς μεγίστην πρὸς τοὺς τιτθοὺς πρόσβαλλε.

51 Ὁκόσαι ἐν γαστρὶ ἔχουσι, τουτέων τὸ στόμα τῶν ὑστερέων συμμέμυκεν.

B 52 Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ γάλα πουλὺ ἐκ τῶν μαζῶν ῥυῇ, ἀσθενὲς τὸ ἔμβρυον σημαίνει. ἢν δὲ στερεοὶ οἱ μαστοὶ ἔωσιν, ὑγιεινότερον τὸ ἔμβρυον σημαίνει.

53 Ὁκόσαι διαφθείρειν μέλλουσι τὰ ἔμβρυα, ταύτῃσιν οἱ τιτθοὶ ἰσχνοὶ γίνονται. ἢν δὲ πάλιν σκληροὶ γένωνται, ὀδύνη ἔσται, ἢ ἐν τοῖσι τιτθοῖσιν, ἢ ἐν τοῖσιν ἰσχίοισιν, ἢ ἐν τοῖσιν ὀφθαλμοῖσιν, ἢ ἐν τοῖσι γούνασι, καὶ οὐ C διαφθείρουσιν.

54 Ὁκόσῃσι τὸ στόμα τῶν ὑστερέων σκληρόν ἐστι, ταύτῃσιν ἀνάγκη τὸ στόμα τῶν ὑστερέων ξυμμύειν.

55 Ὁκόσαι ἐν γαστρὶ ἔχουσαι ὑπὸ πυρετῶν λαμβάνονται, καὶ ἰσχυρῶς ἰσχναίνονται ἄνευ προφάσιος φανερῆς, τίκτουσι χαλεπῶς καὶ ἐπικινδύνως. ἢ ἐκτιτρώσκουσαι κινδυνεύουσιν.

D 56 Ἐπὶ ῥόῳ γυναικείῳ σπασμὸς καὶ λειποθυμίη ἢν ἐπιγένηται, κακόν.

57 Καταμηνίων γινομένων πλειόνων, νοῦσοι ξυμβαίνουσι. καὶ μὴ γινομένων ἀπὸ τῆς ὑστέρης γίνονται νοῦσοι.

58 Ἐπὶ ἀρχῷ φλεγμαίνοντι, καὶ ὑστέρῃ φλεγμαινούσῃ, στραγγουρίη ἐπιγίνεται. καὶ ἐπὶ νεφροῖσιν ἐμπυοῖσι, στραγγουρίη ἐπιγίνεται. ἐπὶ δὲ ἥπατι φλεγμαίνοντι, λύγξ ἐπιγί- E νεται.

59 Γυνὴ ἢν μὴ λαμβάνῃ ἐν γαστρὶ, βούλῃ δὲ εἰδέναι εἰ λήψεται, περικαλύψας ἱματίοισι, θυμία κάτω. κἢν μὲν πορεύεσθαί σοι δοκέῃ ἡ ὀδμὴ διὰ τοῦ σώματος ἐς τὰς ῥῖνας καὶ ἐς τὸ στόμα, γίνωσκε ὅτι αὐτὴ οὐ δι᾽ ἑωυτὴν ἄγονός ἐστιν.

60 Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ καθάρσιες πορεύωνται, F ἀδύνατον τὸ ἔμβρυον ὑγιαίνειν.

61 Ἢν γυναικὶ καθάρσιες μὴ πορεύωνται, μήτε φρίκης, μήτε πυρετοῦ ἐπιγινομένου, ἄσαι δὲ αὐτῇ προσπίπτωσι, λογίζου ταύτην ἐν γαστρὶ ἔχειν.

62 Ὁκόσαι ψυχρὰς καὶ πυκνὰς τὰς μήτρας ἔχουσιν, οὐ κυΐσκουσι. καὶ ὁκόσαι καθύγρους ἔχουσι τὰς μήτρας, G οὐ κυΐσκουσιν. ἀποσβέννυται γὰρ αὐτέων ὁ γόνος. καὶ ὁκόσαι ξηρὰς μᾶλλον καὶ περικαέας. ἐνδείῃ γὰρ τῆς τροφῆς, φθείρεται τὸ σπέρμα. ὁκόσαι δὲ ἐξ ἀμφοτέρων τὴν κρᾶσιν ἔχουσι σύμμετρον, αἱ τοιαῦται ἐπίτεκνοι γίνονται.

63 Παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἀρρένων. ἢ γὰρ δι᾽ ἀραιότητα τοῦ σώματος τὸ πνεῦμα ἔξω φέρεται πρὸς τὸ H μὴ παραπέμπειν τὸ σπέρμα. ἢ διὰ τὴν πυκνότητα τὸ ὑγρὸν οὐ διαχωρέει ἔξω. ἢ διὰ τὴν ψυχρότητα οὐκ ἐκπυροῦται ὥστε ἀθροίζεσθαι πρὸς τὸν τόπον τοῦτον. ἢ διὰ τὴν θερμασίην, τὸ αὐτὸ τοῦτο γίνεται. 64 Γάλα διδόναι κεφαλαλγέουσι κακόν. κακὸν δὲ καὶ πυρεταίνουσι, καὶ οἷσιν ὑποχόνδρια μετέωρα διαβορβορύζοντα. καὶ τοῖσι διψώδεσι κακόν. κακὸν δὲ καὶ οἷσι χολώδεες αἱ ὑποχωρήσιες ἐν ὀξέσι πυρετοῖσιν ἐοῦσι. καὶ οἷσιν αἵματος πολλοῦ διαχώρησις γέγονεν. ἁρμόζει δὲ τοῖσι φθινώδεσι μὴ λίην πολλῷ πυρέσσουσι. διδόναι δὲ καὶ ἐν πυρετοῖσι μακροῖσι βληχροῖσι, μηδενὸς τῶν προειρημένων σημείων παρεόντος. παρὰ λόγον δὲ ἐκτετηκόσι.

48 Mares vteri dextra parte, fœminæ ſiniſtra magis geſtantur.

49 Vt ſecundæ excidant, ſternutatorio naribus appoſito, eas & os comprimito.

50 Mulieri ſi voles menſtrua ſiſtere, cucurbitulam quàm maximam ad nates appone.

51 Quæ vtero gerunt, iis vteri os conniuet.

52 Mulieri vterum gerenti, ſi lac copioſum è mammis effluat, fœtum imbecillum indicat. Quòd ſi ſolidæ mammæ fuerint, valentiorem fœtum ſignificant.

53 Quæ fœtus corrupturæ ſunt, iis mammæ extenuantur. Quòd ſi contra duræ euadant, dolor erit vel in mammis, vel in coxis, vel in oculis, vel in genibus, neque fœtum corrumpunt.

54 Quibus os vteri durum eſt, iis conniuere os vteri neceſſe eſt.

55 Quæcunq; vtero gerentes febribus detinentur, & vehementer extenuantur citra manifeſtam cauſam, eæ difficulter & cum periculo pariunt, aut in abortionis periculum incidunt.

56 In fluore muliebri ſi conuulſio accedat & animi defectio, malo eſt.

57 Menſibus copioſioribus profluentibus morbi contingunt, & non prodeuntibus ab vtero morbi eueniunt.

58 Ad recti inteſtini & vteri inflammationem, reneſque purulentos ſtranguria ſuccedit. At iecore inflammatione laborante ſuccedit ſingultus.

59 Si mulier non concipiat, ſcire autem expetit num conceptura ſit, veſtibus vndiq; obuolutæ per inferna ſuffitum apponito, & ſi odor quidem ad nares & os vſque per corpus tibi peruadere videatur, ipſam non ex ſeſe infœcundam eſſe ſcito.

60 Si mulieri vtero gerenti purgationes eant, fœtus vt bene valeat fieri non poteſt.

61 Si mulieri purgationes non prodeant, neque horrore, neque febre ſuccedente, ciborum verò faſtidia ei accidant, grauidam eſſe exiſtimato.

62 Quæ frigidos & denſos habent vteros non cõcipiunt, neq; quæ præhumidos habent, ſiquidem in ipſis genitura extinguitur. Et quæ plus æquo ſiccas & adurentes, alimenti namque inopia ſemen corrumpitur. At quæ ex vtriſq; moderatam nactæ ſunt temperiem, eæ fœcundæ euadunt.

63 Eadem verò ratio eſt in maribus, aut enim propter corporis raritatem ſpiritus foras diſſipatur, ita vt ne ſemen tranſmittat, aut propter denſitatem humor foras non excernitur, aut ob frigiditatem non accenditur, vt ad eum locum cogatur, aut ob caliditatem hoc idem contingit.

64 Lac exhibere capite dolentibus, malum. Malum item & febricitantibus, & quibus præcordia ſublata murmurant, & ſiticuloſis. Malum quoque & quibus bilioſæ ſunt deiectiones, quique febre acuta laborant, & quibus copioſa ſanguinis deiectio facta eſt. At tabidis lac dare conuenit, non valde admodum febricitantibus, & in febribus longis & languidis, dum nullum ex ſupra commemoratis ſignis adfuerit, & præter rationem extenuatis.

65 Quibus cum vlceribus tumores conſpiciuntur, ij ferè neque conuelluntur, neque in furorem aguntur. Atiis de repente euaneſcentibus, quibus quidem id à tergo incidit, conuulſiones & neruorum diſtentiones fiunt. Quibus verò à fronte, furores aut lateris dolores acuti, aut puris collectio, aut inteſtinorum difficultas, ſi rubri tumores fuerint.

66 Si magnis & prauis exiſtentibus vulneribus tumor non conſpiciatur, ingens malum.

67 Molles boni, at crudi mali.

68 Ei qui parte capitis poſteriore dolet, recta in fronte inciſa vena, prodeſt.

69 Rigores mulieribus quidem initium ducunt ex lumbis magis, & per dorſum ad caput perueniunt. Quinetiam viris parte corporis poſteriore magis, quàm anteriore, veluti ex cubitis & femoribus Quod & indicat cutis raritas, quam etiam pilus oſtendit.

70 Qui quartanis corripiuntur, ferè conuulſione non tentantur. Quòd ſi priùs corripiantur, deinde quartana ſuccedat, liberantur.

71 Quibus cutis obtenditur arida & dura, ij ſine ſudore moriuntur. At quibus laxa & rara, cum ſudore vitam finiunt.

72 Qui morbo regio laborant, non multum flatulenti ſunt.

Sectio ſexta.

1 In diuturnis inteſtinorum læuitatibus, ſi ructus acidus, qui antea non extitit, ſuccedat, bonum eſt ſignum.

2 Quibus nares natura ſunt humidiores, & genitura humidior, ij morboſiore ſunt valetudine, at quibus contraria ſunt, ſalubriore.

3 In longis inteſtinorum difficultatibus cibi faſtidia malum denunciant, & cum febre peius.

4 Vlcera vndiquaque glabra, maligna.

5 Dolores & in lateribus & in pectore, & in cæteris partibus, num multum differant, perdiſcendum,

6 Renum & veſicæ vitia in ſenibus ægrè curantur.

7 Dolores qui ad ventrem fiunt, ſublimes quidem, leuiores; non ſublimes verò, vehementiores.

8 Aqua inter cutem laborantibus orta in corpore vlcera, non facilè ſanantur.

9 Puſtulæ latæ raro pruriginoſæ.

10 Capite dolenti ac vehementer laboranti, pus, aut aqua, aut ſanguis, per nares, vel os, vel aures effluens, morbum tollit.

11 Melancholicis affectibus & renum vitiis ſuccedentes hæmorrhoides (hoc eſt ſanguinis profluuium per ora venarum in ano ſanguinem fundere ſolita) bono ſunt.

12 Diuturnum ſanguinis profluuium per ora venarum quæ in ano ſunt (hæmorrhoidas dicunt) curanti, niſi vna ſeruetur, periculum eſt ne aqua inter cutem, aut tabes ſuccedat.

13 Singultu detento, ſi ſternutamenta accedant, ſingultum tollunt.

14 Aqua inter cutem detento, vbi aqua ex venis in ventrem confluxerit, morbus ſoluitur.

15 Longo alui profluuio detento, ſpontanea accedens vomitio, alui profluuium ſoluit.

65 Ὁκόσοισιν οἰδήματα ἐφ' ἕλκεσι φαίνονται, οὐ μάλα σπῶνται οὐδὲ μαίνονται. τουτέων δὲ ἀφανισθέντων, ἐξαίφνης τοῖσι μὲν ὄπισθεν, σπασμοὶ, τέτανοι. τοῖσι δὲ ἔμπροσθεν, μανίαι. ὀδύναι πλευροῦ ὀξεῖαι, ἢ ἐμπύησις, ἢ δυσεντερία, ἢν ἐρυθρὰ μᾶλλον ἦ τὰ οἰδήματα. A

66 Ἢν τρωμάτων ἰσχυρῶν ἐόντων καὶ πονηρῶν, οἴδημα μὴ φαίνηται, κακόν. B

67 Τὰ χαῦνα, χρηστά. τὰ ὠμὰ, κακά.

68 Τῷ τὰ ὄπισθεν τῆς κεφαλῆς ὀδυνωμένῳ, ἡ ἐν μετώπῳ ὀρθὴ φλὲψ τμηθεῖσα, ὠφελέει.

69 Ῥίγεα ἄρχεται γυναιξὶ μὲν, ἐξ ὀσφύος μᾶλλον, καὶ διὰ νώτου ἐς κεφαλήν. ἀτὰρ καὶ ἀνδράσι δὲ μᾶλλον ὄπισθεν, ἢ ἔμπροσθεν τοῦ σώματος, οἷον ἀπό τε πηχέων καὶ μηρῶν. ἀτὰρ καὶ τὸ δέρμα ἀραιὸν ἔχουσι. δηλοῖ δὲ τοῦτο ἡ θρίξ. C

70 Οἱ ὑπὸ τεταρταίων ἁλισκόμενοι ὑπὸ σπασμοῦ οὐ πάνυ τι ἁλίσκονται. ἢν δὲ ἁλίσκωνται πρότερον, ἔπειτα ἐπιγένηται τεταρταῖος, παύονται.

71 Ὁκόσοισι δέρματα περιτείνεται καρφαλέα καὶ σκληρὰ, ἄνευ ἱδρῶτος τελευτῶσιν. ὁκόσοισι δὲ χαλαρὰ καὶ ἀραιὰ, σὺν ἱδρῶτι τελευτῶσιν. D

72 Οἱ ἰκτεριώδεες οὐ πάνυ τι πνευματώδεές εἰσιν.

ΤΜΗΜΑ ΕΚΤΟΝ.

1 Ἐν τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη ἐπιγενομένη, μὴ γενομένη πρότερον, σημεῖον ἀγαθόν.

2 Οἶσι ῥῖνες ὑγρότεραι, φύσει, καὶ ἡ γονὴ ὑγροτέρη, ὑγιαίνουσι νοσηρότερον. οἷσι δὲ τἀναντία, ὑγιεινότερον.

3 Ἐν τῇσι μακρῇσι δυσεντερίῃσιν, αἱ ἀποσιτίαι κακὸν, καὶ σὺν πυρετῷ κάκιον. E

4 Τὰ περιμάδαρα ἕλκεα κακοήθεα.

5 Τῶν ὀδυνέων ἐν πλευρῇσι, καὶ ἐν στήθεσι, καὶ ἐν τοῖσιν ἄλλοισιν μέρεσιν, ἢν μέγα διαφέρωσι καταμαθητέον.

6 Τὰ νεφριτικὰ καὶ ὅσα κατὰ τὴν κύστιν, ἐργωδῶς ὑγιάζεται τοῖσι πρεσβύτῃσι.

7 Τὰ ἀλγήματα τὰ κατὰ τὴν κοιλίην γινόμενα, τὰ μὲν μετέωρα κοῦφα. τὰ δὲ μὴ μετέωρα, ἰσχυρότερα. F

8 Τοῖσιν ὑδρωπικοῖσι τὰ γινόμενα ἕλκεα ἐν τῷ σώματι, οὐ ῥᾳδίως ὑγιάζεται.

9 Τὰ πλατέα ἐξανθήματα, οὐ πάνυ τι κνησμώδεα.

10 Κεφαλὴν πονέοντι, καὶ περιωδυνέοντι, πῦον, ἢ ὕδωρ, ἢ αἷμα ῥυὲν κατὰ τὰς ῥῖνας, ἢ κατὰ τὸ στόμα, ἢ κατὰ τὰ ὦτα, λύει τὸ νόσημα. G

11 Τοῖσι μελαγχολικοῖσι, καὶ τοῖσι νεφριτικοῖσι, αἱμοῤῥοΐδες ἐπιγινόμεναι, ἀγαθόν.

12 Τῷ ἰηθέντι χρονίας αἱμοῤῥοΐδας, ἢν μὴ μία φυλαχθῇ, κίνδυνος ὕδρωπα ἐπιγενέσθαι ἢ φθίσιν.

13 Ὑπὸ λυγμοῦ ἐχομένῳ πταρμοὶ ἐπιγινόμενοι, λύουσι τὸν λυγμόν. H

14 Ὑπὸ ὕδρωπος ἐχομένῳ τοῦ κατὰ τὰς φλέβας ἐς τὴν κοιλίην ὕδατος ῥυέντος, λύσις.

15 Ὑπὸ διαῤῥοίης ἐχομένῳ μακρῆς, ἀπὸ ταυτομάτου ἔμετος ἐπιγενόμενος, λύει τὴν διάῤῥοιαν.

16 Ὑπὸ

A 16 Ὑπὸ πλευρίτιδος, ἢ ὑπὸ περιπλευμονίης ἐχομένῳ, διάρροια ἐπιγινομένη κακόν.

17 Ὀφθαλμιῶντα ὑπὸ διαῤῥοίης ληφθῆναι, ἀγαθόν.

18 Κύστιν διακοπέντι, ἢ ἐγκέφαλον, ἢ καρδίην, ἢ φρένας, ἢ τῶν ἐντέρων τι τῶν λεπτῶν, ἢ κοιλίην, ἢ ἧπαρ, θανατῶδες.

19 Ἐπὴν διακοπῇ ὀστέον, ἢ χόνδρος, ἢ νεῦρον, ἢ γνάθου τὸ λεπτὸν, ἢ ἀκροποσθίη, οὔτε αὔξεται, οὔτε ξυμφύεται.

B 20 Ἢν ἐς τὴν κοιλίην αἷμα χυθῇ παρὰ φύσιν, ἀνάγκη ἐκπυηθῆναι.

21 Τοῖσι μαινομένοισι κιρσῶν ἢ αἱμοῤῥοΐδων ἐπιγινομένων, μανίης λύσις.

22 Ὁκόσα ῥήγματα ἐκ τοῦ νώτου ἐς τοὺς ἀγκῶνας καταβαίνει, φλεβοτομίη λύει.

23 Ἢν φόβος ἢ δυσθυμίη πουλὺν χρόνον διατελέῃ, C μελαγχολικὸν τὸ τοιοῦτον.

24 Ἐντέρων ἢν διακοπῇ τῶν λεπτῶν τι, οὐ ξυμφύεται.

25 Ἐρυσίπελας ἔξωθεν κατακεχυμένον, ἔσω τρέπεσθαι οὐκ ἀγαθόν. ἔσωθεν δὲ ἔξω, ἀγαθόν.

26 Ὁκόσοισιν ἂν ἐν τοῖσι καύσοισι τρόμοι γένωνται, παρακοπὴ λύει.

27 Ὁκόσοι ἔμπυοι ἢ ὑδρωπικοὶ τέμνονται ἢ καίονται, D ἐκρυέντος τοῦ πύου ἢ τοῦ ὕδατος ἀθρόου, πάντως ἀπόλλυνται.

28 Εὐνοῦχοι οὐ ποδαγριῶσιν, οὐδὲ φαλακροὶ γίνονται.

29 Γυνὴ οὐ ποδαγριᾷ, ἢν μὴ τὰ καταμήνια αὐτῇ ἐκλίπῃ.

30 Παῖς οὐ ποδαγριᾷ πρὸ τοῦ ἀφροδισιασμοῦ.

31 Ὀδύνας ὀφθαλμῶν ἀκρητοποσίη, ἢ λουτρὸν, ἢ πυρίη, ἢ φλεβοτομίη, ἢ φαρμακοποσίη λύει.

32 Τραυλοὶ ὑπὸ διαῤῥοίης μάλιστα ἁλίσκονται μακρῆς.

33 Οἱ ὀξυρεγμιώδεες οὐ πάνυ τι πλευριτικοὶ γίνονται.

34 Ὁκόσοι φαλακροί εἰσι, τουτέοισι κιρσοὶ μεγάλοι οὐκ ἐγγίνονται. ὁκόσοισι δ' ἂν φαλακροῖσι κιρσοὶ γίνονται, πάλιν οὗτοι γίνονται δασέες.

F 35 Τοῖσιν ὑδρωπικοῖσι βὴξ ἐπιγινομένη, κακόν.

36 Δυσουρίην φλεβοτομίη λύει, τάμνειν δὲ τὰς εἴσω.

37 Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα γενέσθαι ἐν τῷ βρόγχῳ ἔξω, ἀγαθόν.

38 Ὁκόσοισι κρυπτοὶ καρκῖνοι γίνονται, μὴ θεραπεύειν βέλτιον. θεραπευόμενοι γὰρ ἀπόλλυνται ταχέως. μὴ θεραπευόμενοι δὲ, πουλὺν χρόνον διατελοῦσι. G

39 Σπασμοὶ γίνονται, ἢ ὑπὸ πληρώσιος, ἢ κενώσιος. οὕτω δὲ καὶ λυγμός.

40 Ὁκόσοισι περὶ τὸ ὑποχόνδριον πόνοι γίνονται ἄτερ φλεγμονῆς, τουτέοισι πυρετὸς ἐπιγινόμενος λύει τὸν πόνον.

41 Ὁκόσοισι διάπυόν τι ἐὸν ἐν τῷ σώματι μὴ διασημαίνει, τουτέοισι διὰ παχύτητα τοῦ πύου, ἢ τοῦ τόπου, οὐκ ἀποσημαίνει.

H 42 Ἐν τοῖσιν ἰκτερικοῖσι τὸ ἧπαρ σκληρὸν γενέσθαι, πονηρόν.

43 Ὁκόσοι σπληνώδεες ὑπὸ δυσεντερίης ἁλίσκονται, τουτέοισιν ἐπιγινομένης μακρῆς τῆς δυσεντερίης, ὕδρωψ ἐπιγίνεται ἢ λειεντερίη, καὶ ἀπόλλυνται.

16 Morbo laterali aut pulmonum inflammatione conflictato, ſuccedens alui profluuium, malum.

17 Lippitudine laborantem alui profluuio corripi bonum.

18 Cui veſica perfecta fuerit, aut cerebrum, aut cor, aut ſeptum tranſuerſum, aut tenue quoddam inteſtinum, aut ventriculus, aut iecur, lethale eſt.

19 Os cùm perſectum fuerit, aut cartilago, aut neruus, aut genæ tenuis particula, aut præputium, neque augetur, neque coaleſcit.

20 Si ſanguis in ventrem præter naturam effuſus fuerit, vt in pus vertatur neceſſe eſt.

21 Inſanientibus ſi varices aut ſanguinis profluuiũ per ora venarum quæ in ano ſunt (hæmorrhoides dicuntur) acceſſerint, inſaniæ ſolutio.

22 Rupta quæ ex dorſo ad cubiti articulos deſcendunt, venæ ſectio ſoluit.

23 Metus & triſtitia ſi diu perſeuerent, melancholiæ iſtud indicium eſt.

24 Ex tenuioribus inteſtinis ſi quod perſectum fuerit, minimè coaleſcit.

25 Eryſipelas foras effuſum intro verti, minimè bonum, at ab interioribus foras, bonum.

26 Quibus in febribus ardentibus tremores contingunt, delirium ſoluit.

27 Qui pus thorace colligunt, aut aqua inter cutem laborant, ſi vruntur aut ſecantur, & pus aut aqua confertim effluxerit, omninò intereunt.

28 Eunuchi neque podagra laborant, neque calueſcunt.

29 Mulier podagra non laborat, niſi cùm menſtrua defecerint.

30 Puer podagra non tentatur ante venereorum vſum.

31 Oculorum dolores meri potio, aut balneum, aut fomentum, aut venæ ſectio, aut medicamentum purgans exhibitum ſoluit.

32 Balbi longo alui profluuio maximè corripiũtur.

33 Qui acidum eructant, non admodum morbo laterali tentantur.

34 Qui calui ſunt, iis varices magni non fiunt. At quibus caluis exiſtentibus varices ſuccedunt, iis rurſus capillitium gignitur.

35 Aqua inter cutem laborantibus tuſſis accedens malo eſt.

36 Vrinæ difficultatem venæ ſectio ſoluit. Secandæ autem ſunt interiores.

37 In angina detento, ſi tumor in ceruice oriatur, bonum, foras enim morbus vertitur.

38 Quibus cancri occulti oriuntur, eos non curare præſtat. Curati namque citò pereunt, non curati verò diutiùs perdurant.

39 Conuulſio ex repletione aut vacuatione oritur, ita verò etiam ſingultus.

40 Quibus ad præcordia dolores citra inflammationem oriuntur, iis febris ſuccedens dolorem ſoluit.

41 Quibus ſuppuratum aliquod in corpore exiſtit, neque de ſe ſignificationem edit, iis ob puris aut loci craſſitudinem ſui indicium non exhibet.

42 Morbo regio laborantibus iecur durum fieri malum.

43 Lienoſi qui difficultate inteſtinorũ corripiuntur, iis poſt longam ſuccedentem inteſtinorum difficultatem, aqua inter cutem, aut læuitas inteſtinorum accidit, & moriuntur.

44 Quibus ex ſtranguria voluulus ſuccedit, intra diem ſeptimum moriuntur, niſi febre accedente copioſa vrina effluat.

45 Vlcera annua quæcunque fuerint, aut longius tempus habuerint, os abſcedere eſt neceſſe, & cicatrices cauas fieri.

46 Qui gibboſi ex anhelatione & tuſſi fiunt, ante pubertatem, moriuntur.

47 Quibus venæ ſectio & medicamentum purgans confert, iis vere venam ſecare, aut medicamentum purgans exhibere conuenit.

48 Lienoſis accedens inteſtinorum difficultas, bono eſt.

49 Podagrici morbi, intra diem quadrageſimum depoſita inflammatione ſubſiſtunt.

50 Quibus perſectum fuerit cerebrum, iis febrem & bilis vomitionem ſuccedere neceſſe eſt.

51 Quibus bene valentibus capitis dolores de repente contingunt, ſtatimque voce deficiunt, & ſtertunt, intra dies ſeptem pereunt, niſi febris eos prehenderit.

52 Spectare verò oportet quæ etiam ex oculis per ſomnum ſubapparent. Etenim ſi quid ex albo non commiſſis palpebris ſubappareat, neq; id ex alui profluuio, aut medicamenti potione contingat, prauum ſignum eſt & lethale admodum.

53 Deliria quæ cum riſu fiunt, tutiora. At quæ ſtudio adhibito, periculoſiora.

54 In morbis acutis cum febre, gemebundæ ſpirationes, malæ.

55 Podagræ vitia vere & autumno ferè mouentur.

56 Morborum melancholicorum periculoſi decubitus, aut corporis ſyderationem, aut conuulſionem, aut furorem, aut cæcitatem denunciant.

57 At corporis ſyderationes contingunt ea ætate maximè quæ eſt à quadrageſimo ad ſexageſimum.

58 Vbi omentum exciderit, computreſcere neceſſe eſt.

59 Quibus coxendicis dolore conflictatis, coxendicis articulus ſuo loco excidit, ac rurſus recipitur, iis mucores innaſcuntur.

60 Quibus diuturno coxendicis dolore conflictatis, femoris caput ſuo loco excidit, iis crus tabeſcit, & claudicant niſi vrantur.

Sectio ſeptima.

1 In acutis morbis extremorum refrigeratio mala.

2 Caro liuida ex oſſe ægrotante, malū denunciat.

3 Ex vomitione ſingultus & oculi rubentes, malo ſunt.

4 Ex ſudore horror, minimè bonus.

5 Ex furore inteſtinorum difficultas, aut hydrops, aut vehemens mentis emotio (ἔκστασις dicitur) bono eſt.

6 In morbo diuturno ciborum faſtidium & ſynceræ deiectiones, malum denunciant.

7 Ex multo potu rigor & delirium, malum.

8 Ex rupto intrò tuberculo, exolutio, vomitio, & animi defectio contingit.

9 Ex ſanguinis profluuio deliratio aut etiam conuulſio, malo eſt.

10 Ex morbo tenuioris inteſtini (ileum dicunt) vomitio, aut ſingultus, aut conuulſio, aut delirium, malum.

44 Ὁκόσοισιν ἐκ στραγγουρίης εἰλεὸς γίνεται, ἐν ἑπτὰ ἡμέρῃσιν ἀπόλλυνται, ἢν μὴ πυρετοῦ ἐπιγενομένου ἅλις τὸ ὕδωρ ῥυῇ. A

45 Ἕλκεα ὁκόσα ἐνιαύσια γίνεται, ἢ μακρότερον χρόνον ἴσχουσιν, ἀνάγκη ὀστέον ἀφίστασθαι, καὶ τὰς οὐλὰς κοίλας γίνεσθαι.

46 Ὁκόσοισιν ὕβοι ἐξ ἄσθματος ἢ βηχὸς γίνονται, πρὸ τῆς ἥβης ἀπόλλυνται. B

47 Ὁκόσοισι φλεβοτομίη ξυμφέρει, τούτους προσήκει τοῦ ἦρος φλεβοτομεῖν, ἢ φαρμακεύειν.

48 Τοῖσι σπληνώδεσι δυσεντερίη ἐπιγενομένη, ἀγαθόν.

49 Ὁκόσα ποδαγρικὰ νοσήματα γίνεται, ταῦτα ἀποφλεγμήναντα ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀποκαθίσταται.

50 Ὁκόσοισιν ἂν ὁ ἐγκέφαλος διακοπῇ, τούτοισιν ἀνάγκη πυρετὸν καὶ χολῆς ἔμετον ἐπιγίνεσθαι. C

51 Ὁκόσοισιν ὑγιαίνουσιν ὀδύναι γίνονται ἐξαίφνης ἐν τῇ κεφαλῇ, καὶ παραχρῆμα ἄφωνοι κεῖνται καὶ ῥέγχουσιν, ἀπόλλυνται ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν μὴ πυρετὸς ἐπιλάβῃ.

52 Σκοπεῖν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν. ἢν γάρ τι ὑποφαίνηται ξυμβαλλομένων τῶν βλεφάρων τοῦ λευκοῦ, μὴ ἐκ διαρροίης ἐοῦσι, ἢ ἐκ φαρμακοποσίης, φλαῦρον τὸ σημεῖον καὶ θανατῶδες σφόδρα. D

53 Αἱ παραφροσύναι, αἱ μὲν μετὰ γέλωτος γινόμεναι, ἀσφαλέστεραι· αἱ δὲ μετὰ σπουδῆς, ἐπισφαλέστεραι.

54 Ἐν τοῖσιν ὀξέσι πάθεσι τοῖσι μετὰ πυρετοῦ, αἱ κλαυθμώδεες ἀναπνοαὶ, κακαί.

55 Τὰ ποδαγρικὰ τοῦ ἦρος καὶ τοῦ φθινοπώρου κινέεται ὡς ἐπὶ τὸ πολύ. E

56 Τοῖσι μελαγχολικοῖσι νουσήμασιν, ἐς τάδε ἐπικίνδυνοι αἱ ἀποσκήψιες, ἢ ἀπόπληξιν τοῦ σώματος, ἢ σπασμὸν, ἢ μανίην, ἢ τύφλωσιν σημαίνουσι.

57 Ἀπόπληκτοι δὲ μάλιστα γίνονται, ἡλικίῃ τῇ ἀπὸ τεσσαράκοντα ἐτέων, ἄχρις ἑξήκοντα.

58 Ἢν ἐπίπλοος ἐκπέσῃ, ἀνάγκη ἀποσαπῆναι.

59 Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισιν, ἐξίσταται τὸ ἰσχίον, καὶ πάλιν ἐμπίπτει, τούτοισι μύξαι ἐπιγίνονται.

60 Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισι χρονίης τὸ ἰσχίον ἐξίσταται, τούτοισι τήκεται τὸ σκέλος, καὶ χωλοῦνται ἢν μὴ καυθῶσιν. F

ΤΜΗΜΑ ΕΒΔΟΜΟΝ.

1 Ἐν τοῖσιν ὀξέσι νουσήμασι, ψύξις ἀκρωτηρίων, κακόν.

2 Ἐπὶ ὀστέῳ νοσέοντι, σὰρξ πελιδνὴ, κακόν. G

3 Ἐπὶ ἐμέτῳ λὺγξ καὶ ὀφθαλμοὶ ἐρυθροὶ, κακόν.

4 Ἐπὶ ἱδρῶτι φρίκη, οὐ χρηστόν.

5 Ἐπὶ μανίῃ δυσεντερίη, ἢ ὕδρωψ, ἢ ἔκστασις, ἀγαθόν.

6 Ἐπὶ νούσῳ πολυχρονίῃ, ἀσιτίη καὶ χολώδεις ὑποχωρήσιες, κακόν.

7 Ἐκ πολυποσίης ῥῖγος καὶ παραφροσύνη, κακόν.

8 Ἐπὶ φύματος ἔσω ῥήξιος, ἔκλυσις, ἔμετος καὶ λειποψυχίη γίνεται. H

9 Ἐπὶ αἵματος ῥύσει παραφροσύνη ἢ καὶ σπασμὸς, κακόν.

10 Ἐπὶ εἰλεῷ, ἔμετος, ἢ λὺγξ, ἢ σπασμὸς, ἢ παραφροσύνη, κακόν.

11 Ἐπὶ

A 11 Ἐπὶ πλευρίτιδι περιπλευμονίη ἐπιγινομένη, κακόν.

12 Ἐπὶ περιπλευμονίῃ φρενῖτις, κακόν.

13 Ἐπὶ καύμασιν ἰσχυροῖσι σπασμὸς ἢ τέτανος, κακόν.

14 Ἐπὶ πληγῇ τῆς κεφαλῆς ἔκπληξις ἢ παραφροσύνη, κακόν.

15 Ἐπὶ αἵματος πτύσει, πύου πτύσις, κακόν.

16 Ἐπὶ πύου πτύσει φθίσις καὶ ῥύσις, κακόν.

B Ἐπὴν δὲ τὸ σίελον ἴσχηται, ἀποθνήσκουσιν.

17 Ἐπὶ φλεγμονῇ τοῦ ἥπατος, λύγξ, κακόν.

18 Ἐπὶ ἀγρυπνίῃ σπασμὸς ἢ παραφροσύνη, κακόν.

19 Ἐπὶ ὀστέου ψιλώσει ἐρυσίπελας.

20 Ἐπὶ ἐρυσιπέλατι, σηπεδὼν ἢ ἐκπύησις.

21 Ἐπὶ ἰσχυρῷ σφυγμῷ ἐν τοῖσιν ἕλκεσιν, αἱμοῤῥαγίη.

22 Ἐπὶ ὀδύνῃ πολυχρονίῃ, τῶν περὶ τὴν κοιλίην ἐκ-
C πύησις.

23 Ἐπὶ ἀκρήτῳ ὑποχωρήσει, δυσεντερίη.

24 Ἐπὶ ὀστέου διακοπῇ, παραφροσύνη ἢν κενεὸν λάβῃ.

25 Ἐκ φαρμακοποσίης σπασμὸς, θανατῶδες.

26 Ἐπὶ ὀδύνῃ ἰσχυρῇ τῶν περὶ τὴν κοιλίην, ἀκρωτηρίων ψύξις, κακόν.

D 27 Ἐν γαστρὶ ἐχούσῃ, τεινεσμὸς ἐπιγινόμενος, ἐκτιτρώσκειν ποιεῖ.

28 Ὅ τι ἂν ὀστέον, ἢ χόνδρος, ἢ νεῦρον ἀποκοπῇ ἐν τῷ σώματι, οὔτε αὔξεται, οὔτε συμφύεται.

29 Ἢν ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ διάῤῥοια ἐπιγένηται ἰσχυρή, λύει τὴν νοῦσον.

30 Ὁκόσοισιν ἀφρώδεα τὰ διαχωρήματα ἐν τῇσι διαῤ-
E ῥοίῃσι, τουτέοισιν ἀπὸ τῆς κεφαλῆς καταῤῥεῖ.

31 Ὁκόσοισι πυρέσσουσιν ἐν τοῖσιν οὔροισι κριμνώδεες αἱ ὑποστάσιες γίνονται, μακρὴν τὴν ἀῤῥωστίην σημαίνουσιν.

32 Ὁκόσοισι δὲ χολώδεες αἱ ὑποστάσιες, ἄνωθεν δὲ λεπταί, ὀξεῖαν ἀῤῥωστίην σημαίνει.

33 Ὁκόσοισι δὲ διεστηκότα τὰ οὖρα γίνεται, τουτέοισι ταραχὴ ἰσχυρὴ ἐν τῷ σώματι ἐστίν.

F 34 Ὁκόσοισι δὲ ἐπὶ τοῖσιν οὔροισιν ἐφίστανται πομφόλυγες, νεφριτικὰ σημαίνουσι, καὶ μακρὴν ἀῤῥωστίην ἔσεσθαι.

Sapientia certè, vt nobis videtur, omnibus cognata eſt,& nobis qui ad eã propiùs acceſſimus, multò magis. Certò ſcito te à futuro ſæculo magnam initurum gratiam, ſi Democritum veritate, qua cum omnibus præſtare poſſe ſperat,non deſtitueris. Tu enim Æſculapio genere & arte cõiunctus es,hic verò Herculis ex fratre nepos, ex quo Abderus, vt profectò aliquando audiſti, cuius nomen ciuitas habet. Quare illi etiam grata futura eſt Democriti curatio. Cùm igitur videas Hippocrates populum & virum egregium ad ſenſuũ ſtupiditatem delabi, ad nos vt feſtines rogamus. Mirum quod etiam exuberantia bona morbi exiſtunt. Democritus enim quantum ſapientiæ acumine valuit,in tantum nunc periclitatur, ne mentis ſtupore & dementia male afficiatur. At reliquum Abderitanum vulgus ineruditum, ſenſu quidem cõmuni fruitur. Quin etiam qui antea imprudentes habebantur, ad ſapientis morbum diſcernendum nunc quidem perſpicaciores ſunt. Adeſto igitur cum Æſculapio patre,cum Herculis filia Epione,cum filiis qui ad Ilium in expeditionem profecti ſunt. Adeſto nunc Pæonia tecum morbi remedia afferens. Terra vberibus fructibus, radicibus, herbis, & floribus ad depellendam inſaniam ferax eſt, neque fere vnquam fœcundiùs producent, neque terra,neque montium iuga, quàm quæ nunc ad Democriti ſalutem. Vale.

Hippocrates Senatui populóque Abderitarum S.

CVius veſter Ameleſagoras eo die Co appulit, in quem fortè inciderat Virgæ aſſumptio,anniuerſaria, vt ſcitis,nobis feſtiuitas,& publicus conuentus, pompaq; ad cupreſſum celebris, quam pro more deducunt qui Deo dicati ſunt. Cùm autem & ex verbis, & ex aſpectu ipſo feſtinare videretur Ameleſagoras, credens,re vera,vrgere negotium,epiſtolam veſtram legi, & miratus ſum quòd de vnius hominis ſalute, non ſecus ac ſi vnus eſſet in ciuitate conturbati eſſetis. Et certè beati ſunt populi,qui viros bonos ſua eſſe propugnacula intelligunt, non turres, non mœnia, ſed prudentium virorum prudentia conſilia. At verò artes deorum eſſe munera cùm mihi perſuadeam, viros autem naturæ opera,ne indignemini,viri Abderitæ,ſi naturam,non vos,me vocare exiſtimem,ad opus ſuum conſeruandum, quod periclitatur ne morbo corruat. Quare Naturę & Diis potiùs quàm vobis auſcultans,feſtino Democritum ægrotantem ſanaturus, ſi ſanè hic morbus eſt,ac non potiùs (quod exopto) errore hallucinamini. Ac certè maius fuerit beneuolentiæ veſtræ teſtimonium, ſi vos ad hanc ſuſpicionem conturbati fueritis. Mihi verò ad vos venienti, non natura, neq; Deus argentum promiſerit. Ac neque vos (viri Abderitæ) per vim obtrudite, ſed liberæ artis libera eſſe ſinite opera. Qui autem mercede operam ſuam locant, hi ſcientias tanquam ex priore libertate mancipio dantes ſeruire cogunt. Deinde probabile eſt eos mentiri poſſe,velut in magno morbo,& negare vt in paruo,aut vbi promiſerint,non venire, rurſuſque non vocatos venire. Miſerabilis ſane eſt humana vita, quod ad eam totam intolerabilis argenti cupiditas, velut hybernus flatus peruaſerit, ad quem morbum inſania grauiorem curãdum, vtinam Medici omnes potiùs concurrerent, quæ tamen beata cenſetur,cùm morbus ſit,& male affligat. Equidem omnes animi morbos vehementes inſanias reputo,

ξυγγενὴς μὲν οὖν ὡς ἔοικε πᾶσι σοφίη. τοῖς δὲ ἐγγυτέρω κεχωρηκόσιν αὐτῆς ὥσπερ ἡμῖν, καὶ μᾶλλον πλέον. εὖ δ' ἴσθι χάριτι καὶ τῷ μέλλοντι αἰῶνι μεγάλῃ προσεκκλινῶν Δημόκριτον ἧς ἐλπίζει προστερήσειν ἀληθείας. σὺ γὰρ Ἀσκληπιῷ προσεγγυστὴς ἔξαι γένος καὶ τέχνην. ὁ δὲ Ἡρακλέους ἐστὶν ἀδελφιδοῦς. ἀφ' οὗ Ἄβδηρος, ὥσπερ που πυθέσθαι πάντως, ᾧ ἐπώνυμος ἡ πόλις, ὥστε κἀκείνῳ χάρις, ἡ Δημοκρίτου γένοιτ' ἂν ἴησις. ὁρᾷς οὖν ὦ Ἱππόκρατες εἰς ἀναισθησίαν ἀπορρέοντα καὶ δῆμον καὶ ἄνδρα ἀρίσημον. σπεῦδε πρὸς ἡμέας δεόμεθα. φεῦ ὡς καὶ τὰ ἀγαθὰ περιττεύσαντα, νόσοι τυγχάνουσιν. ὁ Δημόκριτος γὰρ ὅσον ἐρρώσθη πρὸς ἄκρα σοφίης, ἴσα κινδυνεύει νῦν, ἀποπληξίᾳ διανοίας, καὶ ἠλιθιότητι κακοῦσθαι. οἱ δὲ δῆμοι ὅσοι πολλοὶ δ' εἰσὶν Ἀβδηριτῶν μείναντες ἐν ἀπαιδευσίῃ, τὸν γε κοινὸν κατέχουσι νοῦν ἀλλὰ νῦν γε φρονιμώτεροι νόσον σοφοῦ κρίνειν. οἱ πρὶν ἄφρονες. ἧκε οὖν μετὰ Ἀσκληπιοῦ πατρὸς, ἧκε μετὰ Ἡρακλέους, θυγατρὸς Ἠπιόνης. ἧκε μετὰ παίδων τῶν ἐπὶ Ἴλιον στρατευσαμένων. ἧκε νῦν παιώνια νούσου φέρων ἄκεα. εὐκαρπίσει δὲ γῆ ῥίζας καὶ βοτάνας ἐξαφ[illegible] μανίης ἄνθη. σχεδὸν οὖν οὐδέποτε γονιμώτερον εὐφορήσουσιν, οὔτε γῆ, οὔτε ὀρέων ἀκρώρειαι, ἢ νῦν Δημοκρίτου τὰ πρὸς ὑγιείαν. ἔρρωσο.

Ἱπποκράτης Ἀβδηριτέων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν.

Ὁ Πολίτης ὑμέων Ἀμελησαγόρης ἦλθεν εἰς Κῶ, καὶ ἔτυχε τότ' ἐοῦσα τῆς ῥάβδου ἡ ἀνάληψις ἐν ἐκείνῃ τῇ ἡμέρῃ, καὶ ἐτήσιος ἑορτὴ, ὡς ἴστε πανήγυρις ἡμῶν, καὶ πομπὴ πολυτελὴς, ἐς κυπάρισσον, ἣν ἔθος ἀνάγειν τοῖς τῷ θεῷ προσήκουσιν. ἐπεὶ δὲ σπουδάζειν ἐῴκει καὶ ἐκ τῶν λόγων καὶ ἐκ τῆς προσόψιος ὁ Ἀμελησαγόρας, πεισθεὶς ὅπερ ἦν ἐπείγειν τὸ πρῆγμα, ἀνέγνων τε ὑμέων τὴν ἐπιστολὴν, καὶ ἐθαύμασα ὅτι περὶ ἑνὸς ἀνθρώπου ὡς εἷς ἄνθρωπος ἡ πόλις θορυβεῖσθε. καὶ μακάριοί γε δῆμοι ὁκόσοι ἴσασιν οὐ τοὺς ἀγαθοὺς ἄνδρας, ἐρύματα ἑωυτῶν, καὶ οὐ τοὺς πύργους, οὐδὲ τὰ τείχεα, ἀλλὰ σοφῶν ἀνδρῶν σοφὰς γνώμας. ἐγὼ δὲ πειθόμενος τέχνας μὲν εἶναι θεῶν χάριτας, ἀνθρώπους δὲ ἔργα φύσιος, καὶ μὴ νεμεσήσητε ἄνδρες Ἀβδηρῖται οὐχ ὑμᾶς δοκέω, ἀλλὰ φύσιν αὐτὴν καλέειν με, ἀνασώσασθαι ποίημα ἑωυτῆς. κινδυνεῦον ὑπὸ νούσου διαφθαρῆναι. ὥστε πρὸς ὑμέων ἐγὼ νῦν φύσει καὶ θεοῖς ὑπακούων ἀσθενέοντα Δημόκριτον ἰήσασθαι, εἴπερ δὴ καὶ τῷ ὄντι νοῦσός ἐστιν, ἀλλὰ μὴ ἀπάτῃ συνεκλάζεσθε, ὅπερ εὔχομαι καὶ φανείη πλέον τῆς ἐν ἡμῖν εὐνοίας τεκμήριον, καὶ πρὸς ὑπόνοιαν ταραχθεῖσαν. ἀργύριον δέ μοι ἐχέμυθος, οὔτ' ἂν φύσις οὔτ' ἂν θεὸς ὑπόσχοιτο. ὥστε μηδ' ὑμεῖς ἄνδρες Ἀβδηρῖται βιάζεσθε, ἀλλ' ἐᾶτε ἐλευθέρης τέχνης, ἐλεύθερα καὶ τὰ ἔργα. οἱ δὲ μισθαρνεῦντες, δουλεύειν ἀναγκάζουσι τὰς ἐπιστήμας ὥσπερ ἐξανδραποδίζοντες αὐτὰς, ἐκ τῆς προτέρης παρρησίης. ἔπειτα ὡς εἰκὸς καὶ ψεύσαιντο ἂν, ὡς περὶ μεγάλης νούσου, καὶ ἀρνηθεῖεν ὡς περὶ μικρῆς. καὶ οὐκ ἂν ἔλθοιεν ὑποσχόμενοι. καὶ πάλιν ἔλθοιεν μὴ κληθέντες. οἰκτρός γε ὁ τῶν ἀνθρώπων βίος, ὅτι δι' ὅλου αὐτοῦ, ὡς πνεῦμα χειμέριον, ἡ ἀφόρητος φιλαργυρίη διέδυκεν. ἐφ' ἣν εἴθε μάγοι ἅπαντες ἰητροὶ ξυνήεσαν ἐλθόντες ἀποθεραπεῦσαι χαλεπωτέρην μανίης νοῦσον. ὅτι καὶ μακαρίζεται νοῦσος ἐοῦσα, καὶ κακοῦσα. οἶμαι δὲ ἔγωγε καὶ τὰ ψυχῆς νοσήματα πάντα,

μανίας

μελαγχολίας εἶναι σφοδρὰς, ἐμποιούσας δόξας τινὰς, καὶ φαντασίας τῷ λογισμῷ. ὧν ὁ δι' ἀρετῆς ἀποκαθαρθεὶς, ὑγιάζεται. ἐγὼ δὲ εἰ πλουτεῖν ἐξ ἅπαντος ἐβουλόμην ὦ ἄνδρες Ἀβδηρῖται, οὐκ ἂν εἵνεκα δέκα ταλάντων διέβαινον πρὸς ὑμέας, ἀλλ' ἐπὶ τὸν μέγαν ἐρχόμην Περσέων βασιλέα, ἔνθα πόλιες ὅλαι παρέπεσον τῆς ἐξ ἀνθρώπων εὐδαιμονίης γεγεμισμέναι. ἰώμην δ' ἂν καὶ ἐκεῖσε λοιμὸν αὐτῶν. ἀλλ' ἀπηρνησάμην ἐχθρὴν Ἑλλάδι χώρην ἐλευθερῶσαι κακῆς νούσου. κἀγὼ τό γε ἐπ' ἐμοὶ, κατεναυμάχησα τοὺς βαρβάρους. εἶχον δ' ἂν αἰσχύνην, καὶ τὸν παρὰ βασιλέως πλοῦτον, καὶ πατρίδος ἐχθρὴν περιουσίην. προσεκτησάμην δ' ἂν αὐτὰ, ὡς ἑλέπολις τῆς ἑλλάδος ὑπάρχων. οὐκ ἔστι πλοῦτος, ὃ πάντοθεν χρηματίζεσθαι. μεγάλα γὰρ ἱερὰ τῆς ἀρετῆς ἐστὶν ὑπὸ δικαιοσύνης οὐ κρυπτόμενα, ἀλλ' ἐμφανέα ἐόντα. ἢ οὐκ οἴεσθε ἴσον ἁμάρτημα εἶναι σώζειν πολεμίους, καὶ φίλους ἰᾶσθαι μισθοῦ. ἀλλ' οὐχ ὧδε ἔχει τὰ ἡμέτερα, ὦ δῆμε. οὐ καρποῦμαι δὲ νούσους. οὐδὲ διὰ εὐχῆς ἤκουσα τὴν Δημοκρίτου παραφροσύνην. ὃς εἴτε ὑγιαίνει φίλος ἔσται, εἴτε νοσεῖ θεραπευθεὶς, πλέον ὑπάρξει. πυνθάνομαι δὲ αὐτὸν, ἐμβριθέα καὶ στερρὸν τὰ ἤθεα. καὶ τῆς ὑμετέρης πόλιος ἐόντα κόσμον. ἔρρωσθε.

cùm opiniones quaſdam & viſa rationi ſuſcitant, ex quibus ſaneſcit qui per virtutem repurgatur. Ego verò ſi omnibus modis diteſcere voluiſſem viri Abderitæ, ne decem quidem talentorum gratia ad vos veniſſem, ſed ad Magnum Perſarum Regem proficiſcerer vbi vrbes totæ opibus humanis refertiſſimæ occurriſſent, illorum autem peſtilentem morbũ curaſſem. Sed regionẽ Græciæ inimicam malo morbo liberare recuſaui. Et ego his quidem totis meis viribus Barbaros nauali prælio ſuperaui. Regias autem opes ignominię mihi futuras, & opulentiã patriæ inimicam reportaſſem, quibus circum affluens vrbium Græciæ deſtructor exiſterem. Diuitiæ non ſunt pecuniæ vndecunq; comparatæ. Magna enim ſunt virtutis ſacra, quæ à iuſtitia non teguntur, ſed in apertum ſe proferunt. An non reputatis æquale peccatũ eſſe, hoſtes ſeruare, & amicos mercede curare. At non ita ſe habent res noſtræ. Ex morbis quæſtum non facio, neq; ex animo Democriti dementiam audiui, qui ſiue ſanus ſit, amicus eſt, ſiue ęgrotet, curatus magis amicus futurus eſt. [E]um autem grauibus & firmis moribus eſſe pręditum intelligo, & vrbi veſtræ eſſe ornamento. Valete.

Ἱπποκράτης Φιλοποίμενι χαίρειν.

Οἱ τήν τε πόλιος ἐπιστολὴν ἀναδόντες μοι πρέσβεις, καὶ τὴν ἀπέδοσαν. ἥσθην τε κάρτα, καὶ ξενίην ὑπισχνεομένου σεῦ, καὶ τὴν ἑτέρην δίαιταν. ἔλθοιμεν δ' ἂν αἰσίᾳ τύχῃ. καὶ ἀφιξόμεθα ὡς ὑπολαμβάνομεν, χρηστοτέρῃσιν ἐλπίσιν ὡς ἐν τῇ γραφῇ παραδεδήλωται, οὐ μανίην, ἀλλὰ ψυχῆς τινὰ ῥῶσιν ὑπερβάλλουσαν διασαφηνέοντος τοῦ ἀνδρὸς, μήτε παίδων, μήτε γυναικὸς, μήτε ξυγγενέων, μήτε οὐσίης, μήτε τινὸς ὅλως ἐν φροντίδι ἐόντος. ἡμέρην δὲ καὶ εὐφρόνην παρ' ἑωυτῷ καθεστεῶτος, καὶ ἰδιάζοντος. τὰ μὲν πολλὰ ἐν ἄντροισι καὶ ἐρημίῃσιν, ἢ ὑποσκιάσεσι δενδρέων. ἢ ἐν μαλθακῇσι ποίαις, ἢ παρὰ συνεχείῃσιν ὑδάτων, ῥείθροις. συμβαίνει μὲν οὖν τὰ πολλὰ τοῖς μελαγχολικοῖς τὰ τοιαῦτα. σιγηροί τε γὰρ ἐνίοτε εἰσὶ, καὶ μονήρεες, καὶ φιλέρημοι τυγχάνουσιν. ἀπανθρωπίονταί τε ξύμφυλον ὄψιν, ἀλλοτρίην νομίζοντες. οὐκ ἀπεοικὸς δὲ καὶ τοῖσι περὶ παιδείην ἐσπουδακόσι, τὰς ἄλλας φροντίδας ὑπὸ μιῆς τῆς ἐν σοφίῃ διαθέσεως ἀποσοβέεσθαι. ὥσπερ γὰρ δμῶές τε καὶ δμωΐδες ἐν τῇσιν οἰκίῃσι θορυβέοντες καὶ στασιάζοντες, ὁκόταν ἐξαπιναίως αὖθις ἡ δέσποινα ἐπιστῇ ἢ ἐπελθόντες ἀφησυχάζουσι. παραπλησίως καὶ αἱ λοιπαὶ κατὰ ψυχὴν ἐπιθυμίαι ἀνθρώποις κακῶν ὑπηρέτιδες. ἐπὴν δὲ σοφίης ὄψις ἑωυτὴν ἐπιστήσῃ, ὡς δοῦλα τὰ λοιπὰ πάθεα ἐκκεχώρηκεν. ποθέουσιν αὐτὰ, καὶ ἡσυχίην οὐ πάντες οἱ μαινόμενοι, ἀλλὰ καὶ οἱ τῶν ἀνθρωπίνων πραγμάτων ὑπερφρονήσαντες, ἀταραξίης ἐπιθυμίῃ. ὁκόταν γὰρ ὁ νοῦς ὑπὸ τῶν ἔξω φροντίδων κοπιώμενος, ἀναπαύσασθαι θελήσῃ τὸ σῶμα, τότε ταχέως εἰς ἡσυχίην μετήλλαξε. εἶτα ἀναστὰς ὄρθιος, ἐν ἑωυτῷ περισκοπεῖ κύκλῳ, χωρίον ἀληθείης. ἔνθα οὐ πατὴρ, οὐ μήτηρ. οὐ γυνή. οὐ τέκνα. οὐ κασίγνητος. οὐ συγγενέες. οὐ δμῶες. οὐ τύχη. οὐχ ὅλως οὐδὲν τὸν θόρυβον ἐμποιησάντων, πάντα δ' ἀποκεκλεισμένα τὰ ταράσσοντα, ἕστηκεν ὑπὸ φόβου. οὐδὲ πλησιάσαι τολμέοντα, ὑπ' εὐλαβείης τῶν αὐτῇ ἐνοικεόντων. οἰκέουσι δὲ τὸ χωρίον ἐκεῖνο, καὶ τέχναι, καὶ ἀρεταὶ παντοῖαι, καὶ θεοὶ, καὶ δαίμονες, καὶ βουλαὶ, καὶ γνῶμαι.

Hippocrates Philopœmeni S.

Legati qui cum vrbis veſtræ epiſtola, etiam tuam mihi reddiderunt, quodq; tuum hoſpitium, & reliqua vitæ commoda promitteres, valde lætatus ſum. Auſpicatò autem veniemus, & vt cõiicimus, meliore ſpe accedemus, cùm velut ex literis accepimus, nõ inſaniam, ſed eximium quoddã animi robur vir hic demõſtret, qui neq; liberorum, neq; vxoris, neq; cognatorum, neq; rei familiaris, neq; cuiuſquã omninò curam habeat, ſed dies & noctes ſolus priuatam vitam degat, in antris plærunq; & ſolitudinibus, aut in arborum vmbraculis, aut in mollibus herbis, aut iuxta crebra aquarũ fluenta. Hæc igitur plærunq; melancholicis accidunt. Quandoq; enim taciturni ſunt, ſolitarij, deſertorum amantes, familiarium conſpectum, tanquam alienum, fugiunt. Neq; etiam abſurdum eſt in his qui ad diſciplinas ſtudioſè contendunt, omnes alias curas ab vno ſapientiæ affectu excuti. Non aliter enim ac miniſtri & miniſtræ in domibus tumultuantes ac concertantes, ſi quando de repente eis hera adfuerit, attoniti conquieſcũt, ſimiliter etiam reliquę animi cupiditates malorum hominibus ſunt adminiſtræ, at vbi ſapientia in conſpectũ ſe dederit, tanquam mancipia reliqui affectus diſcedũt. Non omnes amẽtes ſpeluncas & quietem expetunt, verumetiã qui res humanas negligunt, ob tranquillitatis deſiderium. Cùm enim mens curis externis fracta, corpus recreare voluerit, tunc citò in quietem tradit, deinde erecta & ſtans circum ſeſe veritatis locum circumſpicit, in quo non pater, non mater, non vxor, non liberi, non frater, non cognati, non miniſtri, non fortuna, neque prorſus quicquam tumultum excitat, ſed perturbantia omnia reiecta præ timore ſubſiſtunt, neq; appropinquare audent, pro eorum reuerẽtia qui illic inhabitant. Illum autem locum inhabitant artes, virtutum omne genus, dij, dæmones, conſilia, & ſententię.

In illaque regione magnus polus ſtellis plurimum ſe mouentibus tanquam corona cinctus eſt, in quam fortaſſis Democritus ob ſapientiam commigrauit. Deinde cùm eos qui in vrbe ſunt non videat, vt qui procul à domo agat, ob ſolitudinis amorem inſanire creditur. Cùm verò Abderitæ Democritum non intelligant, de argento periculum facere ſtudent. Tu verò amice Philopœmen hoſpitium nobis præparato. Neque enim perturbatæ vrbi moleſtus eſſe volo, cùm te (vt noſti) veterem & proprium hoſpitem habeam. Vale.

καὶ ὁ μέγας πόλος ἐν ἐκείνῳ τῷ χωρίῳ τοῖς πολυκινήτοις ἀστέροις κατεστεφάνωται. εἰκὸς δ' ἄρα καὶ Δημόκριτον ὑπὸ σοφίης μετῳκίσθαι. εἶτ' οὐχ ὁρέων τοὺς ἐν τῇ πόλει, ἅτε τηλοῦ ἐκδεδημηκὼς, δοξάζεται μανίης νόσον. διὰ τὸ φιλέρημον. συνιέντες δ' Ἀβδηρῖται, ἀργυρίῳ ἐξελέγχεσθαι, ὅτι οὐ ξυνιᾶσι Δημόκριτον. ἀλλὰ σύγε ἡμῖν κατάρτυε τὴν ξενίην ὦ ἑταῖρε Φιλοποίμην. οὐ γὰρ ἐθέλω ταρασσομένῃ τῇ πόλει παρέχειν ὄχλησιν ἐκ παλαιοῦ ἴδιον ἔχων ξένον σε ὡς οἶσθα. ἔρρωσο.

Hippocrates Dionyſio S.

AVt me Halicarnaſſi expecta, aut me (ô amice) anteuerte. Neceſſario enim mihi Democriti gratia in Abderam abeundum, ad quem ægrotantem vrbs me accerſiuit. At mirabilis Dionyſij quædam eſt morum hominum naturæ conuenientia & cõſenſio, qui velut vnus animus, vnà cum ciue ſuo ægrotat, vt proinde mihi curatione indigere videatur. Equidem nõ ipſum morbum eſſe puto, ſed nimis exuperantem doctrinam, quæ re vera modum ſuperare non poteſt, ſed ita vulgo exiſtimatur, cùm neque modum exuperans virtus vnquã ſit noxia. Quod verò exuperat, propter eorum qui iudicãt inſcitiam, morbi opinionem præbet. Quiſq; autem ex his quæ non habet, quod in alio abundat, modum excedere opinatur. Ita ſanè timidus fortitudinem, & auarus animi magnitudinem modum excedere ſentit, omniſque defectus virtutis moderationem exceſſum eſſe putat. Illum igitur vbi viderimus cum ea quæ nobis inde ſuppetet prænotione, eiuſque ſermonem audiuerimus, meliùs cognoſcemus. Tu verò, Dionyſi, accedere feſtina. Volo enim te quoad rediero, in patria noſtra commorari, vt rerum noſtrarum imprimiſq; vrbis noſtræ curam habeas, quandoquidem neſcio quo caſu ſalubris annus eſt, & priſtinam naturam retinet. quare neque multi morbi moleſti erunt, verumtamen adeſto. Domum meam valde peropportunam inhabitabis, cùm mea vxor propter meam profectionem apud parentes maneat, illius tamen vitam obſerua, quò pudicè degat, & ne ob viri abſentiam alios viros vſurpet. Modeſta ab initio fuit, & probos habuit parentes, patrem autem mirum in modum virilem, & vehementer malos odio proſequentem, ac egregiè ſenem. Semper tamen eo qui modeſtè coërceat mulier opus habet. Natura enim inſitam intemperantiam habet, quæ niſi quotidie reſecetur, velut arbores ſuperuacuis frondibus & inutili fruticatione luxuriat. At ego amicum parentibus diligentiorem in muliere cuſtodienda exiſtimo. Neque enim hic, velut illi, beneuolentiæ affectu cum ea coniunctus eſt, quo plærunque admonitioni tenebras offendunt. In omni autem re quod ſine affectu prudentius eſt, quòd nimirum beneuolentia frangi non poſſit.

Ἱπποκράτης Διονυσίῳ χαίρειν.

Ἢ περίμενέ με ἐν Ἁλικαρνασσῷ, ἢ φθάσον αὐτὸς ἐλθεῖν ὦ ἑταῖρε. κατὰ πᾶσαν γὰρ ἀνάγκην ἀπιτέον εἰς Ἄβδηρά μοι Δημοκρίτου χάριν. ἐφ' ὃν νοσέοντα, μετεπέμψατό με ἡ πόλις. ἀλλ' ἐκτόπως ἡ συμπάθεια τῶν ἀνθρώπων Διονύσιε, ὡς μιᾷ ψυχῇ ξυννοσεῖ τῷ πολίτῃ. ὥστε μοι δοκέουσι καὶ αὐτοὶ θεραπείης δέεσθαι. ἐγὼ δ' οἶμαι οὐδὲ νόσον αὐτὴν εἶναι, ἀλλ' ἀμετρίην παιδείης, οὐκ οὖσαν γε τὸ εἶναι ἀμετρίην, ἀλλὰ νομιζομένην τοῖσιν ἰδιώτῃσιν. ἐπεὶ οὐδέ ποτε βλαβερὸν, τὸ ἀρετῆς ἄμετρον. δόξα δὲ νούσου γίνεται τὸ ὑπερβάλλον διὰ τὴν τῶν κρινόντων ἀπαιδευσίην. δοκιμάζει δ' ἕκαστος, ἐξ ὧν αὐτὸς οὐκ ἔχει, τὸ ἐν ἄλλῳ πλεονάζον ὑπερβάλλειν. ὥς που καὶ ὁ δειλὸς, ἀμετρίην τὴν ἀνδρείην ὑπείληφε. καὶ ὁ φιλάργυρος τὴν μεγαλοψυχίην. καὶ πᾶσα ἔλλειψις ὑπερβάλλειν δοκεῖ τὸ ἀρετῆς ξύμμετρον. ἐκεῖνον μὲν οὖν αὐτὸν εἰδόντες μετὰ τῆς ἐνθένδε προγνώσιος, καὶ ἀκούσαντες τὸν λόγον αὐτοῦ, ἄμεινον εἰσόμεθα. σὺ δ' ἐπείγου ὦ Διονύσιε αὐτὸς παραγενέσθαι. βούλομαι γὰρ ἐνδιατρίψαι σε τῇ πατρίδι μου, μέχρις ἂν ἐπανέλθω. ὅκως τῶν τε ἡμετέρων φροντίσῃς, καὶ προφερτον ἡμέων τῆς πόλιος. ἐπεὶ οὐκ οἶδ' ὅκως ἐκ συντυχίης ὑγιεινὸν τὸ ἔτος ἐστὶ, καὶ τὴν ἀρχαίην φύσιν ἔχει. ὥστε οὐδὲ πολλαὶ παρενοχλήσουσι νοῦσοι, πλὴν ὅμως, πάρειθι. οἰκήσεις δὲ τὴν ἐμὴν οἰκίην ὑπερευκαιρέουσαν, ἅτε καὶ τοῦ γυναίου μένοντος πρὸς τοὺς γονέας, διὰ τὴν ἐμὴν ἐκδημίην. ἐπισκόπει δ' ὅμως καὶ τὰ ἐκείνης, ὅκως διάγῃ σωφρόνως, καὶ μὴ τῇ ἀνδρὸς ἀπουσίῃ ἄλλους ἄνδρας νομίσῃ. κόσμιον μὲν γὰρ ἐξ ἀρχῆς ἦν, καὶ γονέας ἀστείους εἶχε. τὸν δὲ πατέρα ἐκτόπως ἀνδρικόν τε καὶ μάλα μισοπόνηρον ὑπερφυῶς γερόντιον. ἀλλ' ὅμως ἀεὶ χρῄζει γυνὴ σωφρονίζοντος. ἔχει γὰρ φύσει τὸ ἀκόλαστον ἐν ἑωυτῇ. ὅπερ εἰ μὴ καθ' ἡμέρην ἐπικόπτοιτο, ὡς τὰ δένδρα καθυλομανεῖ. ἐγὼ δὲ φίλον οἴομαι ἀκριβέστερον γονέων, εἰς φυλακὴν γυναικός. οὐ γὰρ ὡς ἐκείνοις καὶ τούτῳ ξυνοικέει πάθος εὐνοίης, δι' οὗ πολλάκις ἐπισκιάζονται τὴν νουθεσίην. φρονιμώτερον δὲ ἐν παντὶ τὸ ἀπαθέστερον, ἅτε μὴ ἐπικλώμενον ἐπ' εὐνοίης. ἔρρωσο.

Hippocrates Damageto S.

CVm apud te Rhodi eſſem Damagete, nauem illam vidi cui Solis inſcriptio inerat, quæ mihi perpulchra, puppi probe & idonea carina inſtructa, multaq; tranſtra habere viſa eſt. Tu verò eam commendabas, quòd ad nauigandum velox eſſet, tuta, ad regendum bene fabricata, facilemque nauigationis curſum haberet. Eam ad nos mittito, ſed ſi fieri poſſit, non remis, ſed alarum remigio inſtructam.

Ἱπποκράτης Δαμαγήτῳ χαίρειν.

Οἶδα παρά σοι γενόμενος ἐν Ῥόδῳ Δαμάγητε τὴν ναῦν ἐκείνην, ἥλιος ἐπιγραφὴ ἦν αὐτῇ, πάγκαλον τινὰ καὶ εὔπρυμνον, ἱκανῶς τε τετροπισμένην. καὶ διαβάσεις εἶχε πολλάς. ἐπῄνεις δὲ καὶ τὸ ναυτικὸν αὐτῆς, ὡς ὀξὺ, καὶ ἀσφαλὲς, καὶ εὔτυχον ὑπουργῆσαι. καὶ τὸν πλοῦν τὴν εὐδρομίην. ταύτην ἔκπεμψον ἡμῖν. ἀλλ' εἰ οἷόν τε, μὴ κώπαις, ἀλλὰ πτεροῖς ἐρετμώσας αὐτήν.

ἐπεὶ

ἐπείγει γὰρ τὸ χρῆμα καὶ φιλότης, μάλα εἰς Ἄβδηρα διαπλεῦσαι πάνυ ταχέως. βούλομαι γὰρ νοσέουσαν ἰήσασθαι πόλιν, διὰ νοσέοντα ἕνα Δημόκριτον. ἀκούεις ποτ' ἀνδρὸς τὸ κλέος, τοῦτον ἡ πατρὶς ἤτοι μανίῃ κεχρῆσθαι. ἐγὼ δὲ βούλομαι μὲν, τοῦτο δὲ εὔχομαι. μὴ ὄντως αὐτὸν παραχόπτειν, ἀλλ' ἐκείνοισι δόξαι εἶναι. γελᾷ φασιν αἰεὶ καὶ οὐ παύεται γελῶν ἐπὶ παντὶ χρήματι. καὶ σημεῖον αὐτοῖσι μανίης τοῦτο δοκέει. ὅθεν λέγε τοῖσιν ἐν Ῥόδῳ φίλοισι μετριάζειν αἰεί. καὶ μὴ πολλὰ γελᾶν μηδὲ πολλὰ σκυθρωπάζειν. ἀλλὰ τουτέων ἀμφοῖν τὸ μέτριον κτήσασθαι. ἵνα τοῖς μὲν χαριέστατος εἶναι δόξειας. τοῖς δὲ φροντιστὴς περὶ ἀρετῆς μερμηρίζειν. ἔνι κἀν σοὶ τι Δαμάγητε κακὸν, πρὸς ἕκαστον αὐτῶν γελῶντος. εἰ γὰρ ἡ ἀμετρίη φλαῦρον, τὸ διὰ παντὸς φλαυρότερον. καὶ εἴποιμι ἂν αὐτῷ Δημόκριτε, καὶ νοσέοντος, καὶ κτεινομένου, καὶ τεθνεῶτος, καὶ πολιορκουμένου, καὶ πάντως ἐμπεσόντος κακῷ. ἕκαστον τῶν χρημάτων, ὕλην τοι γέλωτος παρέχεται. οὐ θεομαχεῖς δὲ εἰ δύο ἐόντων ἐν κόσμῳ, χαρᾶς καὶ λύπης, σὺ θάτερον αὐτῶν ἐκβέβληκας. μακάριος τ' ἂν ἦς, ἀλλ' ἀδύνατον, εἰ μήτε μήτηρ τοι νοσήκει, μήτε πατὴρ, μήτε τὰ ὕστερον τέκνα, ἢ γυνὴ ἢ φίλος, ἀλλὰ διὰ τὸν σὸν γέλωτα ταῦτα διασώζεται εὐτυχεῖς πάντα. ἀλλὰ νοσεόντων γελᾷς, ἀποθνησκόντων χαίρεις. εἴ τι που πύθοιο κακὸν, εὐφραίνῃ ὡς πονηρότατος εἶ ὦ Δημόκριτε. καὶ πόῤῥω γε σοφίης. ἢν οὐ νομίζεις αὐτὰ μηδὲ κακὰ εἶναι. μελαγχολᾷς οὖν Δημόκριτε, κινδυνεύεις καὶ αὐτὸς Ἀβδηρίτης εἶναι. φρονιμωτέρη δὲ ἡ πόλις. ἀλλὰ περὶ μὲν δὴ τουτέων, ἀκριβέστερον ἐκεῖ λεξόμεθα, Δαμάγητε. ἡ δὲ ναῦς καὶ τὸν χρόνον ὃν ἐπιστέλλω σοι χρονίζει. ἔρρωσο.

Res enim & amicitia vrget;vt quam citiſſime in Abderam traiiciam. Ægrotantem enim vrbé propter vnum Democritum morbo affectum curare volo. Si quando de huius viri fama accepiſti, hunc patria dementiæ inſimulat. At ego volo,imò vero exopto,illũ re vera nõ delirare,ſed eos ita opinari. Ridet ſemper; inquiunt,neq; in quouis negotio ridere ceſſat, hocq; illis inſaniæ ſignum videtur.Quare noſtros qui Rhodi ſunt amicos moneto,vt ſemper modũ teneant,neque multum rideant,neque multum tetrici ſint, ſed inter hæc modũ teneant, vti his quidé gratiſſimus eſſe videaris, illis verò commendationi deditus, de virtute anxiè cogitans. Ineſt certe Damagete vitij aliquid, quod ad ſingula rideat.Si enim immoderantia vitioſa eſt,quæ perpetua vitioſior.Eum auté ſic alloquar Democrite,ſi quis ęgrotet,ſi quis interficitur,moritur,& obſidetur,& ſi quis mali incidit, & quicquid ſit, materiam tibi riſus præbet.An non bellum Diis indicere videris,ſi cùm duo ſint in mundo, gaudiũ & triſtitia, alterum à te reieceris?Beatus certe mihi videaris,verum id fieri nequit, ſi neq; mater tibi ægrotet, neque pater,neq; tandem liberi,aut vxor, aut amicus, ſed vt propter tuũ riſum conſeruẽtur, omnia certè tibi proſpere cedunt.Sed quod cùm ægrotant rides,cum moriuntur gaudes, ſi quod malum audieris, exhilaratis, maxime improbus es Democrite,longeq; à ſapientia aberras,ſi hæc vitia non exiſtimas.Atra igitur bile vexaris Democrite, & periclitaris ne ipſe Abderitanus habearis, prudentior autem ſit ciuitas. Verum de his quidé Damagete illic exactius diſſeremus. Nauis autẽ etiam hoc tempore quo ad te ſcribo moratur. Vale.

Ἱπποκράτης Φιλοποίμενι χαίρειν.

Σύννοος καὶ περιφροντικὸς, περὶ Δημοκρίτου, αὐτὴν ἐκείνην τὴν νύκτα καταδαρθὼν, περὶ ὄρθρον ἤδη ἐὼν, ὄναρ ἐφαντάσθην. ἐξ οὗ νομίζω κάρτα μηδὲν ἐπισφαλὲς γενήσεσθαι, ἐκπάγλως γὰρ διηγέρθην. ἐδόκεον γὰρ αὐτὸν τὸν Ἀσκληπιὸν ὁρέειν φαίνεσθαι αὐτίκα πλησίον. ἤδη δὲ πρὸς ταῖς τῶν Ἀβδηριτῶν πύλαις ἐτυγχάνομεν. ὁ δὲ Ἀσκληπιὸς οὐχ ὡς εἰώθεσαν αὐτοῦ αἱ εἰκόνες, μειλίχιόν τε καὶ πρᾶον ἰδέσθαι, κατεφαίνετο. ἀλλὰ διηγερμένος τῷ σχήματι, καὶ εἰδέσθαι φοβερώτερος. εἵποντο δὲ αὐτῷ δράκοντες, χρῆμα τι ἑρπετῶν ὑπερφυές. ἐπισυρόμενοι δὲ καὶ αὐτοὶ μακροῖς τοῖς ἐπισύρμασι, καὶ τι φρικῶδες ὡς ἐν ἐρημίῃσι καὶ νάπῃσι κοίλῃσιν ὑποσυρίζοντες. οἱ δὲ κατόπιν ἑταῖροι κίστας φαρμάκων εὖ μάλα ἀσφαλέως ἐσφηκωμένας ἔχοντες, εἵποντο. ἔπειτα ὤρεξέ μοι τὴν χεῖρα ὁ θεός. κἀγὼ λαβόμενος ἀσμένως, ἐλιπάρεον ξυνέρχεσθαι. καὶ μὴ καθυστερεῖν μου τῆς θεραπείης, ὁ δὲ, οὐδέν τι, ἔφη, ἐν τῷ παρεόντι ἐμεῦ χρήζεις, ἀλλά σε αὕτη τὰ νῦν ξεναγήσει θεὸς, κοινὴ ἀθανάτων τε καὶ θνητῶν. ἐγὼ δὲ ἐπιστραφεὶς, ὁρέω γυναῖκα, καλλίστην, καὶ μεγάλην, ἀφελῶς πεπλοκισμένην, λαμπρείμονα. διέλαμπον δ' αὐτῆς ἐκ τῶν ὀμμάτων κύκλοι, καθαρόν τι φῶς, οἷον ἀστέρων μαρμαρυγαὶ δοκέειν. καὶ ὁ μὲν δαίμων ἐχωρίσθη. κείνη δὲ ἡ γυνὴ πιέσασά με τοῦ καρποῦ μαλθακῇ τινι εὐνοίῃ, διὰ τοῦ ἄστεος ἦγε φιλοφρονεομένη. ὡς δὲ πλησίον τῆς οἰκίης ἦλθεν; ἵνα τὴν ξενίην ἐδόκεον εὐτρεπίζεσθαι, ἀπῄει ὡς φάσμα εἶπεν· ἴσθι. αὔριόν σε παρὰ Δημοκρίτῳ καταλήψομαι.

Hippocrates Philopœmeni S.

CVm cogitabundus & ſolicitus de Democriti ſalute eſſem, illaque ipſa nocte dormirem, ſub auroræ initium ſomnium mihi viſum eſt, ex quo nihil admodum periculoſi euenturum exiſtimo. Mirandum enim in modum excitatus ſum.Ipſum enim Æſculapium coram præſentem mihi videre videbar, cùm iam ad Abderitanas portas perueniſſemus. At Æſculapius non ea lenitate ac facilitate, qua illius imagines conſpici ſolent, videbatur, ſed habitus erat commoto ſimilis, & aſpectus magis horrendus: Sequebantur autem eum dracones inter reptilia eximij, longoque tractu feſtinantes, horrendum quiddam velut in ſolitudinibus & cauis vallibus ſubſibilantes. Pone ibant comites medicamentorum ciſtas probè obturatas habentes. Deinde mihi manum Deus porrexit, qua lubẽnter arrepta, rogabam mecum vti veniret, neque me in curatione deſereret. Ille verò, nihil inquit mea opera in præſentia indiges, verum hæc communis tum immortalium, tum mortalium Dea, te nunc hoſpitem deducet. At ego conuerſus, mulierem tum pulchram, tum magnam aſpicio, ſimplici capillorum ornatu, ſplendido cultu cuius oculorum orbes claro lumine pellucebant, vti ſtellarum fulgores viderentur. Et Deus quidem diſceſſit, mulier verò illa oppreſſa manu me leui quodam paſſu per vrbem perhumaniter complexa deduxit. Vbi verò ad domum venimus, vbi mihi hoſpitium paratum putabam, velut ſpectrum diſceſſit, dicere viſa, cras te apud Democritum offendam.

Qua iam diſcedente, quæſo optima (inquam) quænam es, & quod tibi nomen eſt. Veritas inquit. Quam verò accedentem vides, Opinio eſt (inquit) cõfeſtimque altera quædam mihi viſa eſt, neq; mala hæc quidem, ferociore tamen & faſtuoſo aſpectu, & apud Abderitanos habitat. Experrectus igitur mihi ipſi ſomnium explicaui, quod ex quò ipſe Deus medendi author diſceſſiſſet, tanquam nullam curandi habeat materiam. Democritus medico non indigeat, ſed veritas ipſa, quòd ſanus ſit, apud Democritum manet, opinio verò quòd ægrotet, re vera apud Abderitanos habitat. Hæc vera eſſe, vt ſunt, credo Philopœmen, neque ſomnia reiicio, præſertim quæ ordinem conſeruant. Medicina autem & Diuinatio, magnam inter ſe cognationem habent, quandoquidem duarum artium pater eſt vnus Apollo progenitor noſter, qui & præſentes & futuros morbos prædicebat, & ægrotantes & ægrotaturos curabat. Vale.

Hippocrates Crateuæ S.

Scio te (ô amice) præſtantiſſimum eſſe herbarium, teq; propter ſtudium & maiorum gloriam, nihil facultate Crateuæ proauo tuo cedere. Nunc igitur, ſi vnquam aliàs, quantas & qualeſcunq; poteris herbas lege, cùm neceſſitas vrgeat, eaſq; ad nos tranſmitte, ad virum curandum, Abderitam quidem, verum Democritum toti ciuitati æquiparandum. Eum enim ægrotare aiunt, & inſania detentum purgatione valde indigere. Ac vt ne medicamentis quidem (vt ſpero) vtamur, ſed tamen vndiquaq; inſtructum eſſe oportet. Rem autem herbariam apud te ſemper miratus ſum, vt & rerum vniuerſarum naturam & ordinem, ſanctiſſimumq; terræ ſolum, ex qua animãtia, plantæ, alimenta, medicamenta, fortuna, diuitiæq; ipſę promanant. Neq; enim alioqui pecuniæ cupiditas haberet vbi conſiſteret, neque me nunc Abderitæ decem talentis illectaſſent, & pro Medico mercede conductum deprehendiſſent. Quòd ſi Crateua amaram pecuniæ cupiditatis radicem excindere poſſis, vt ne vllæ eius reliquiæ reſtent, hoc probè teneto, quòd vnà cum hominum corporibus etiam malè affectos animos purgaremus. Sed hæc quidem in votis habenda. Tu verò nobis, quod præſens eſt, montanas & ex ſummis collibus herbas legito. Nam ob ſoli denſitatem, & aëris tenuitatem, aquoſioribus ſunt ſolidiores & vehementiores. Quod enim attrahũt magis eſt animatum. Tenta tamen vt etiã ex his quæ circa ſtagna aut paludes naſcũtur flores colligas, & eas quæ apud nos fluuiales, aut fontanæ, aut ex aquis ſalientibus ſcatentes vocantur, quas ſanè imbecillas & remiſſas, ac dulcis ſucci eſſe mihi perſuadeo. Succi autem omnes & fluidi liquores, in vitreis vaſis adferantur, ac rurſus folia, flores & radices, in fictilibus nouis probè obturatis, vt ne ventis difflata vim medicam tãquam animo deficientes deſerant, verùm hæc ad nos confeſtim mitte. Anni enim tempeſtas commoda eſt, & dictæ inſaniæ neceſſitas vrget. Cùm enim ab omni arte aliena ſit procraſtinatio, tum verò maximè in Medicina, in qua dilatio vitæ periculum adfert. Temporum autem opportunitates curationum ſunt animi, earumq; obſeruatio finis. Democritum ſanè quidem etiam citra medelam conualiturum ſpero. Si verò aliquod naturæ, aut occaſionis, aut alterius alicuius cauſæ erratum contingat (multa nanque nos mortales latent,

ἤδη δὲ αὐτῆς μεταστρεφομένης, δέομαι φημὶ, φράσαι τίς εἶ, καὶ τίνα σε καλέομεν, ἡ δὲ, ἀλήθεια, ἔφη. αὕτη δὲ ἣν προσιοῦσαν ὁρῇς, καὶ ἐξαίφνης ἑτέρη τις κατεφαίνετό μοι, οὐ κακὴ μὲν οὐδ᾽ αὐτή, θρασυτέρη δὲ ἰδέσθαι, καὶ σεσοβημένη, δόξα ἔφη καλέεται. κατοικέει δὲ παρὰ τοῖσιν Ἀβδηρίτῃσιν. ἐγὼ μὲν οὖν ἀναστὰς, ὑπεκρινάμην ἐμαυτῷ τὸ ὄναρ, ὅτι οὐ δέοιτο ἰητροῦ Δημόκριτος. ὅπου γε αὐτὸς ὁ θεραπεύων θεὸς ἀπέστη, ὡς οὐκ ἔχων ὕλην θεραπείης. ἀλλὰ ἡ μὲν ἀλήθεια, τοῦ ὑγιαίνειν παρὰ Δημοκρίτῳ μένει. ἡ δὲ τοῦ νοσέειν αὐτὸν δόξα, παρὰ Ἀβδηρίτῃς ὄντως κατῴκηκε. ταῦτα πιστεύω ἀληθέα εἶναι Φιλοποίμην, καὶ ἔστιν. καὶ οὐκ ἀπογινώσκω τὰ ὀνείρατα. μάλιστα δὲ ὁκόταν καὶ τάξιν διαφυλάττῃ. ἰητρικὴ δὲ καὶ μαντικὴ καὶ πάνυ ξυγγενέες εἰσίν. ἐπεὶ καὶ τῶν δύο τεχνέων πατὴρ εἷς Ἀπόλλων, ὁ δὲ πρόγονος ἡμέων, ἐούσας καὶ ἐσομένας νούσους προαγορεύων, καὶ νοσοῦντας, καὶ νοσήσαντας ἰώμενος. ἔρρωσο.

Ἱπποκράτης Κρατεύᾳ χαίρειν.

Ἐπίσταμαί σε ῥιζοτόμον ἄριστον ὦ ἑταῖρε, καὶ διὰ τὴν ἄσκησιν, καὶ διὰ προγόνων κλέος. ὡς μηδὲν ἀποδεῖν σε δυνάμει τοῦ προπάτορος Κρατεύα. νῦν οὖν εἴ καί ποτε ἄλλοτε, βοτανολόγησον, ὁκόσα τε καὶ ὁκοῖα δύνασαι. ἀνάγκη γὰρ ἐπείγει, καὶ διάπεμψαί μοι ταῦτα, ἐπ᾽ ἄνδρα, ὅλῃ πόλει ἰσοστάσιον Ἀβδηρίτην μὲν, ἀλλὰ Δημόκριτον. νοσέειν γάρ φασιν αὐτόν. καὶ καθάρσιος μάλα χρῄζειν, ἐκτὸς μανίης ἐόντα. μὴ χρησώμεθα μὲν οὖν τοῖς φαρμάκοις ὥσπερ καὶ πέπεισμαι, ἀλλ᾽ ὅμως εὐτρεπίζειν χρὴ πανταχόθεν. τὸ δὲ χρῆμα τῶν βοτανῶν, παρά σοι πολλάκις ἐθαύμασα. ὡς καὶ τὴν τῶν ὅλων γε φύσιν τε καὶ διάταξιν. καὶ τὸ ἱερώτατον γῆς ἵδρυμα, ἐξ ἧς ζῷα, καὶ φυτὰ, καὶ τροφαὶ, καὶ φάρμακα, καὶ τύχη, καὶ ὁ πλοῦτος αὐτὸς ἀναφύεται. οὐδὲ γὰρ ἂν εἶχεν οἱ ἐπιβῆναι ἡ φιλαργυρίη. οὐδ᾽ ἂν Ἀβδηρῖταί με νῦν δέκα ταλάντοις ἐδελέαζον, αἰτίῃ ἰητροῦ μεμισθωμένον ἐλέγχοντες. εἰ δὴ ἐδύνασο Κρατεύα τῆς φιλαργυρίης τὴν πικρὴν ῥίζαν ἐκκόψαι, ὡς μηδὲν λείψανον αὐτῆς ἀφεῖναι, εὖ ἴσθι ὡς ἐκαθήραμεν ἂν τὴν ἀνθρώπων, μετὰ τῶν σωμάτων καὶ τὰς ψυχὰς νοσεούσας. ἀλλὰ ταῦτα μὲν εὐχαί. σὺ δ᾽ ἡμῖν τὸ παρεὸν, μάλιστα τὰς ὀρεινὰς καὶ ὑψηλοφοὺς βοτάνας ῥιζοτόμει. στερεώτεραι γὰρ τῶν ὑδρηλοτέρων εἰσί. καὶ δριμύτεραι μᾶλλον, διὰ τὴν τῆς γῆς πυκνότητα καὶ τὴν λεπτότητα τοῦ ἠέρος. ὅτι γὰρ ἕλκουσιν ἐμψυχότερόν ἐστι. πειρήθητι δ᾽ ὅμως καὶ τὰς παρὰ λίμναις ἑλίσι πεφυκυίας ἀνθολογῆσαι. καὶ τὰς ποταμίους, ἢ κρηνίδας, ἢ πιδακίτιδας παρ᾽ ἡμῖν καλεομένας, ἃς δὴ ἀσθενέας καὶ ἀτόνους, καὶ γλυκυχύλους εἶναι πέπεισμαι. πάντα δὲ ὁκόσα χυλοί τε καὶ ὀποὶ ῥέοντες ἐν ὑαλίνοισιν ἀγγείοισι φερέσθωσαν. ὁκόσα δ᾽ αὖ φύλλα ἢ ἄνθεα, ἢ ῥίζαι ἐν κώθωσι καινοῖσι περιεσφηνωμένοις. ὅκως μὴ διαψυχαζόμενα τῇσι πνοῇσιν ἐκλείπῃ τὸν τόνον τῆς φαρμακείης, ὥσπερ λειποψυχήσαντα, ἀλλ᾽ εὐθὺς ἡμῖν ταῦτα πέμψον. καὶ γὰρ ἡ ὥρη τοῦ ἔτεος ἁρμόζουσα. καὶ ἡ ἀνάγκη τῆς λεγομένης μανίης ἐπείγει. τέχνης μὲν γὰρ πάσης ἀλλότριον ἀναβολή, ἰητρικῆς δὲ καὶ πάνυ, ἐν ᾗ ψυχῆς κίνδυνος ἡ ὑπέρθεσις. ψυχαὶ δὲ τῶν θεραπειῶν οἱ καιροὶ, ἐν οἷς ἡ τουτέων φυλακὴ τὸ τέλος. ἐλπίζω μὲν οὖν, ὑγιέα εἶναι τὸν Δημόκριτον καὶ δίχα ἰήσιος. εἰ δ᾽ ἄρα τι σφάλμα φύσιος, ἢ καιροῦ, ἢ ἄλλης τινὸς αἰτίης, γένοιτο. πολλὰ γὰρ ἡμέας θνητοὺς ἐόντας λήθει.

ἅτε μὴ πάγχυ δι' ἀτρεκίης ὑποτείνονται, ἐπὶ τὸ ἄδηλον πᾶσαν χρέος δύναμιν ἠθροῖσθαι. οὐ γὰρ ἀρκέεται ὁ κινδυνεύων, οἷς δυνάμεθα, ἀλλ' ἐπιθυμεῖ καὶ ἃ μὴ δυνάμεθα. καὶ σχεδὸν πρὸς δύο στρατευόμεθα τέλεα, τὸ μὲν ἀνθρώπου, τὸ δὲ τέχνης, ὧν τὸ μὲν ἄδηλον, τὸ δὲ τῇ ἐπιστήμῃ ὥρισται. δεῖ δὲ ἐν ἀμφοτέροισιν τουτέοισι καὶ τύχης. τὸ γὰρ ἀτέκμαρτον ἐν ταῖς καθάρσεσι δι' εὐλαβείης ἰόντων. καὶ γὰρ καὶ στομάχου κάκωσιν ὑφορώμεθα. καὶ ξυμμετρίην φαρμακείης πρὸς ἀγνοουμένην φύσιν στοχαζόμεθα. οὐ γὰρ ἡ αὐτὴ καὶ μία φύσις ἁπάντων. ἑτέρη δὲ ἀεὶ καὶ πρὸς ἑωυτὴν ὁρίζουσα οἰκειοῖ. ἐνίοτε δὲ τὸ πᾶν ἀπώλεσε. καὶ ταῖς βοτάναις πολλὰ τῶν ἑρπετῶν ἐνιοβόλησε, καὶ περιχανόντα τῇ ἐντὸς αὔρῃ, κάκωσιν ἀντ' ἀλεξήσιος αὐτοῖς προσεπέπνευσεν. καὶ τούτου ἄγνοια ἔσται, εἰ μή τις ῥαχίλις ἢ σπίλος, ἢ ὀδμὴ θηριώδης καὶ ἀπεινής, τοῦ γινομένου ξύμβολον φανείη. εἶθ' ἡ τέχνη διὰ τὸ ξύμπτωμα τῆς τύχης, τὸ κατορθώσιος ἀφῃρέθη. βεβαιότεραι δὲ αὖ ἀεὶ αἱ δι' ἐλλεβόρων καθάρσιες εἰσὶν, αἷς καὶ Μελάμπους ἐπὶ τῶν Προίτου θυγατέρων, καὶ Ἀντικυρεὺς ἐφ' Ἡρακλέους, ἱστορέονται κεχρῆσθαι. μὴ χρησαίμεθα δὲ ἡμεῖς ἐπὶ Δημοκρίτου μηδενὶ τούτων. ἀλλὰ γένοιτο ἐκείνῳ τῶν δραστικωτάτων, καὶ ἰητρικωτάτων φαρμάκων σοφίη τέλος. ἔρρωσο.

Ἱπποκράτης Δαμαγήτῳ χαίρειν.

Τοῦτ' ἐκεῖνο Δαμάγητε ὅπερ εἰκάζομεν, οὐ παρέκοπτε Δημόκριτος, ἀλλὰ πάντα ὑπερεφρόνεε, καὶ ἡμέας ἐσωφρόνιζε, καὶ δι' ἡμέων πάντας ἀνθρώπους. ἐξέπεμψα δή σοι φιλότης, ὡς ἀληθέως τὴν Ἀσκληπιάδα ναῦν. ᾗ προσέθηκας μετὰ τοῦ ἡλίου ἐπίσημον καὶ ὑγιείην. ἐπεὶ κατὰ δαίμονα τὸν ἱστὸν ἐδρόμησε. καὶ ἐκείνῃ τῇ ἡμέρῃ κατέπλευσεν εἰς Ἄβδηρα, ᾗπερ αὐτέοις ἐπεστάλκειν ἀφίξεσθαι. πάντας οὖν ἀολλέας περὶ τὰς πύλας εὕρομεν, ὡς εἰκὸς ἡμέας προσμένοντας οὐκ ἄνδρας μούνους, ἀλλὰ καὶ γυναῖκας, ἔτι δὲ καὶ πρεσβύτας καὶ παιδία, νὴ θεοὺς κατηφέα καὶ τὰ νήπια. οὕτω μέντοι ὧδ' εἶχον, ὡς ἐπὶ μαινομένῳ τῷ Δημοκρίτῳ. ὁ δὲ μετ' ἀκριβείης τότε ὑπερεφιλοσόφεεν. ἐπεὶ δέ με εἶδον ἔδοξάν που σμικρὸν ἐφ' ἑωυτῶν γενέσθαι, καὶ χρηστὰς ἐλπίδας ἐποιοῦντο. ὁ δὲ Φιλοποίμην, ἄγειν ἐπὶ τὴν ξενίην με ὥρμητο. κἀκείνοις ξυνεδόκεε τοῦτο. ἐγὼ δὲ ὦ ἄνδρες, ἔφην, Ἀβδηρῖται, οὐδέν ἐστί μοι προὐργιαίτερον, ἢ Δημόκριτον θεήσασθαι. οἱ δ' ἐπαινέουσιν ἀκούσαντες, καὶ ἥσθησαν, ἦγόν τε με ξυντόμως διὰ τῆς ἀγορῆς, οἱ μὲν ἑπόμενοι, οἱ δὲ προθέοντες, ἕτεροι δὲ ἑτέρωθεν ἐπιβοῶντες, σῶζε λέγοντες, βοήθει, θεράπευσον. κἀγὼ παρῄνεον θαρρέειν, ὡς τάχα μὲν οὐδενὸς ἐόντος κακοῦ, πίσυνος ἐτησίαις ὥρῃς. εἰ δὲ ἄρα καί τινος βραχέος, εὐδιορθώτου. καὶ ἅμα ταῦτα λέγων, ᾔειν, οὐδὲ γὰρ πόρρω ἦν ἡ οἰκίη, μᾶλλον δὲ οὐδ' ἡ πόλις ὅλη. παρεγενόμεθ' οὖν. πλησίον γὰρ τοῦ τείχεος ἐτύγχανεν. καὶ ἀνάγουσί με ἡσυχῇ. ἔπειτα κατόπιν τοῦ πύργου, βουνὸς ἦν τις ὑψηλὸς, μακρῇσι καὶ δασείῃσιν αἰγείροισιν ἐπίσκιος. ἔνθεν τε ἐθεωρέετο τὰ τοῦ Δημοκρίτου καταγώγια. καὶ αὐτὸς ὁ Δημόκριτος καθῆστο ὑπό τινι ἀμφιλαφεῖ καὶ χθαμαλωτάτῃ πλατανίστῳ, ἐν ἐξωμίδι παχείῃ, μοῦνος αὐχμηρὸς ἐπὶ λιθίνῳ θώκῳ, ὠχριηκὼς πάνυ καὶ λιπόσαρκος, κουρέων τὰ γένεια. παρ' αὐτὸν δὲ ἐπὶ δεξιῆς, λεπτόρρυτον ὕδωρ κατὰ πρανοῦς τοῦ λόφου θορυβῆσον ἠρέμως ἐκελάρυζεν.

cùm non admodum veritate præſtemus) ad id quod obſcurum eſt facultatem omnem congregatam eſſe opus eſt. Neque enim ei qui in periculo conſtitutus eſt, ſatis ſunt quæ poſſumus, verum etiam quæ non poſſumus expetit; fereque ad duos fines bellum inferimus, vnum quidem hominis, alterum verò artis. Horum alter quidem obſcurus eſt, alter verò arte circumſcriptus eſt, & in his ambobus fortuna opus eſt. Nulla enim coniectura eorum quæ ad purgationem cum cautione feruntur. Nam & ſtomachum male affectum ſuſpectamus, & medicationis conuenientem modum ex ignota natura coniicimus. Neque enim eadem & vna eſt omnium natura, alterum autem ſemper etiam ſibi circumſcribẽs aſſimilat; interdum verò totum perdit. Quin etiam reptilia multa herbas ſuo veneno inficiunt, & ſuo circum hiatu cum interiore aura, malignitatem pro auxilio ipſis inſpirant. Idque ignorabitur, niſi certè macula quædam, aut inquinamentum, aut ferinus & iniucundus odor, eius rei quæ accidit notam dederit. Deinde ars ipſa propter fortunæ lapſum à via recta aberrat. Certiores autem ſunt per veratrum purgationes, quibus etiam Melampus ad Prœti filias, & Anticyreus in Hercule vſi fuiſſe traduntur. Ac optandum nobis vt nullum ex his in Democrito vſurpemus, ſed ſapientia efficaciſſimum & præſtantiſſimum medicamentum illi contingat, & finem imponat. Vale.

Hippocrates Damageto S.

Hoc ipſum coniiciebamus Damagete, non delirat Democritus, ſed in omnibus ſapit, noſque & per nos omnes homines ſapientiores reddit. Remiſi autem ad te, amice reuera Æſculapij nauem, cui cum Solis ſigno etiam ſanitatẽ apponito, cùm reuera proſpero numine vela fecerit, eoq; die Abderam nauigarit, quo me peruenturum ſcripſerã. Omnes igitur pro portis congregatos offendimus, nos, vt eſt veriſimile; expectantes, non viros ſolum, verùm etiam mulieres, atq; etiam ſenes & pueros, per Deos triſtes, itemq; infantes. Hi ſanè ſic affecti erant, quòd Democritus inſaniret, at ille tunc exacta quadam diligentia philoſophiæ incumbebat. Vbi autẽ me viderũt, paulum ad ſe rediiſſe & bene ſperare viſi ſunt. Philopœmen verò me ad hoſpitiũ ducere properabat, quod & communiter illis placebat. At ego (viri Abderitæ) inquam, nihil mihi prius faciẽdum exiſtimo, quàm vt Democritum videã. Quo audito collaudarũt & lætati ſunt; meq; continuo per forum deduxerunt, alij quidem ſequentes, alij præcurrentes, aliaque ex parte alij clamantes vt ſeruarem, adiuuarem, medelam adhiberẽ. At ego bono animo eſſe iubebam, quod Eteſiarum tempeſtate fretus, nullum quidem malum, aut certè breui & facilè corrigi poſſe ſperarem. Simulque hæc dicens pergebam, neq; enim procul domus erat, imò neq; tota ciuitas. Adiuimus igitur, cùm iuxta mœnia eſſet, illucq; me placidè deducunt. Deinde poſt turrim collis erat altus, longis & denſis populis nigris opacus, vnde Democriti domicilium conſpiciebatur. Ipſeq; Democrit⁹ ſub vmbroſa & humillima Platano; ſedebat, in breui & ſubſtricta tunica craſſa citra humeros deſinente (exomide dicta) ſolus, ſqualidus, in lapidea ſella, pallidus admodum & macilẽtus, barba promiſſa. Iuxta eum ad dextram tenuis aquula per decliuem tumulum decurrens placidè reſonabat:

Erat autem delubrum quoddam ſuper tumulum illum, Nymphis quidem, quantum conijcere licet, dedicatum, ſponte enatis vitibus circumdatum. Hic verò compoſitè admodũ librum ſuper genua habebat, & alij quidam vtrinq; ex parte ei adiacebant, crebra autem animaliũ cadauera, per totum diſſecta, accumulata erant. Hic autem interdum contento ſtudio ſcriptioni incumbēbat, interdum multum ſubſiſtens, & apud ſe anxiè cogitãs quieſcebat. Deinde nõ multò poſt his peractis, exurgẽs deambulabat, & animalium viſcera attentè inſpiciebat, hiſq; depoſitis reuerſus rurſus deſidebat. At verò Abderitæ mihi triſtes, nec procul à lachrymantibus oculis aſſiſtẽtes, Vides certè (inquiũt) Hippocrates Democriti vitam, quàm inſaniat, neq; quid velit, aut quid faciat nouit. Et ex his aliquis cũ adhuc eius inſaniam mihi magis demõſtrare vellet, altos eiulatus ad inſtar mulieris liberorũ mortem lamentantis edidit, deinde rurſus ingemuit, viatoris perſonam gerens, qui quod ferebat perdidit. Quibus auditis Democritus partim riſit, partim ſubſannauit, nihilq; amplius ſcribebat, caput verò crebro concutiebat. At ego, vos quidem (inquam) viri Abderitæ hic manete, vbi autem ipſe propius acceſſero, & viri verba audiero, corpuſque videro, affectus veritatem cognoſcam, hiſque dictis placide deſcendi. Erat autem præceps locus ille & pronus, vix igitur greſſum retinens permeaui. Vbi verò propius acceſſi, fortè in eum incidi cùm ſanè quid diuino furore actus & concitatus ſcriberet. Iſthic igitur conſtiti, tempus opportunum dum ipſe ceſſaret expectans. At ille nõ multo poſt, depoſito impetu & ſtilo ſcriptorio, me accedentem aſpexit, & Salue, inquit hoſpes. Et ego, tu quoq; plurimum (inquam) Democrite hominum ſapientiſſime. Ille verò pudore ſuffuſus (opinor) quòd me nomine non compellaſſet. Te verò (inquit) quonam nomine vocauero? Tui enim nominis ignoratio, occaſio fuit cur te hoſpitem appellarem. Hippocrates (inquam) Medicus vocor. At ille, Aſclepiadarum (inquit) nobilitas, tuæque in arte Medica ſapientiæ gloria crebris admodum hominum ſermonibus ad nos peruenit. Quodnam verò te negocium (ó amice) huc adduxit? Quin potius omiſſis omnibus conſideto. Cernis enim quàm non ſit iniucunda hæc foliis ſtrata ſedes, viridis ad hæc & mollis, & ad inſidendũ blandior inuidia obnoxiis fortunæ ſellis. Cum verò conſediſſem, rurſus inquit, priuatum igitur an publicum animo agitans negotium huc veniſti? eloquere apertè. Ad id enim te pro viribus adiuuabimus. Ego verò, iſta ſanè vera cauſa eſt, huc tui gratia venio, vt te virum ſapientem conueniam. Occaſionem autem patria dedit, cuius legationem obeo. At ille, Hoſpitio igitur primùm noſtro vtere. Ego verò pertentato per omnia viro, etſi eum minimè delirare iam mihi conſtaret, Philopœmenem, inquam, noſti, ciuem veſtrum? Ille verò, maximè, inquit, Damonis filium dicis, cuius ædes ſunt iuxta fontem Hermaida? Illum ipſum (inquam) cuius antiquus ſum & peculiaris hoſpes. Tu verò Democrite, potiore me hoſpitio excipito, imprimiſque quidnam ſcribas eloquere. Ille verò paulùm moratus, de inſania, inquit. Tum ego, Iupiter Rex, inquàm, peropportunè ſanè contra ciuitatem ſcribis. At ille, quam ciuitatem Hippocrates? Nihil inquam ô Democrite, ſed neſcio quo modo mihi excidit. Sed quid de inſania ſcribis? Quidnam verò, inquit, aliud, quàm quid ſit, & quomodo hominibus innaſcatur, & quanam ratione alleuetur.

ἦν δέ τι τέμενος ὑπὲρ ἐκείνου τοῦ λόφου, ὡς ἐνεστοχάζετο καὶ εἴκαζεν, νυμφέων ἱδρυμένον, αὐτοφύτοις ἐπηρεφὲς ἀμπέλοις. ὁ δὴ εἶχεν ἐν εὐκοσμίῃ πολλῇ ἐπὶ τῶν γουνάτων βιβλίον. καὶ ἕτερα δὲ ἄττα, ἐξ ἀμφοῖν τοῖν μεροῖν αὐτῷ παραβέβλητο. [14] ἐστόρεστο δὲ καὶ ζῶα συχνὰ, ἀνατετμημένα δι' ὅλων. ὁ δὲ ὁτὲ μὲν ξυντόνως ἔγραφεν ἐγκείμενος, ὁτὲ δὲ ἠρέμει πάμπολύ τι ἐπέχων, καὶ ἐν ἑωυτῷ μερμηρίζων. εἶτα μετ' οὐ πολὺ τουτέων ἐρδομένων, ἐξαναστὰς περιεπάτει. καὶ τὰ σπλάγχνα τῶν ζώων ἐπεσκόπει, καὶ καταθεὶς αὐτὰ μετελθὼν, πάλιν ἐκαθίζετο. οἱ δὲ Ἀβδηρῖται περιεστῶτες κατηφέες, καὶ οὐ πόρρω τὰς ὄψιας δακρυόντων ἔχοντες, φασὶν, ὁρῇς μὲν τὸν Δημοκρίτου βίον ὦ Ἱππόκρατες, ὡς μέμηνεν, καὶ οὔτε ὅ τι θέλει οἶδεν, οὔτε ὅ τι ἔρδει. καί τις αὐτέων ἔτι μᾶλλον ἐνδείξασθαι βουλόμενος τὴν μανίην αὐτοῦ, ὀξὺ ἀνεκώκυσεν, εἴκελον γυναικὶ ἐπὶ θανάτῳ τέκνου ὀδυρομένῃ. εἶτ' ἀνοιμώξει πάλιν ὑποκρινόμενος [15] ὁδίτην ἀπολέσαντά τι ὧν διεκόμιζεν. καὶ ὁ Δημόκριτος ἐπακούων, τὰ μὲν ἐμειδία, τὰ δὲ ἐξεγέλα, καὶ οὐκ ἔτι οὐδὲν ἔγραφεν. τὴν δὲ κεφαλὴν θαμινὰ ἐπέσειεν. ἐγὼ δὲ ὑμέας μὲν, ἔφην, ὦ Ἀβδηρῖται, [16] αὐτόθι μίμνετε. ἐγγυτέρω δὴ αὐτοῦ καὶ λόγων καὶ σώματος τοῦ ἀνδρὸς γενηθεὶς, ἰδών τε καὶ ἀκούσας, εἴσομαι τοῦ πάθεος τὴν ἀλήθειαν. καὶ ταῦτ' εἰπὼν, κατέβαινον ἡσυχῇ. ἦν δὲ ὀξὺ καὶ ἐπίφορον ἐκεῖνο τὸ χωρίον. μόλις δὴ οὖν διερειδόμενος διῆλθον. ἐπεὶ δὲ ἐπλησίαζον, [17] ἔτυχεν, ὅτε ἐπῆλθον αὐτῷ, ὁ μὲν δή ποτε γράφων ἐνθουσιωδῶς, καὶ μεθ' ὁρμῆς. εἱστήκειν οὖν αὐτόθι παραμένων αὐτοῦ τὴν τῆς γραφῆς ἀνάπαυσιν. ὁ δὲ μετὰ μικρὸν τῆς φορῆς λήξας τοῦ γράφειν, ἀνέβλεψέ τε εἰς ἐμὲ προσιόντα, καὶ φησί. χαῖρε ξεῖνε. κἀγὼ, πολλά γε καὶ σὺ Δημόκριτε ἀνδρῶν σοφώτατε. ὁ δὲ αἰδεσθεὶς οἶμαι, ὅτι οὐκ ἐξ ὀνόματος προσεῖπέ με, σὺ δὲ ἔφη τί καλέομεν; ἀγνοίη γὰρ τοῦ σοῦ ὀνόματος, ἦν πρόφασις τοῦ ξεῖνε προσηγορίας. Ἱπποκράτης, ἔφην, ἐμοί γε τοὔνομα, ὁ ἰητρός. ὁ δὲ εἶπεν, ἡ τῶν Ἀσκληπιαδῶν εὐγενεία, πολύ τε σοῦ τὸ κλέος τῆς ἐν ἰητρικῇ σοφίης πεφοίτηκεν, καὶ ἐς ἡμέας ἀφῖκται. τί δὲ χρέος ἑταῖρε δεῦρό σε ἤγαγεν; μᾶλλον δὲ πρὸ πάντων, κάθιζε. ὁρῇς δ' ὡς ἔστι στιβὰς οὐκ ἀηδὴς φύλλων θῶκος, εὖ χλοερὸς καὶ μαλθακὸς ἐγκαθίσαι, προσηνέστερος τῶν τῆς τύχης ἐπιφθόνων θώκων. καθίσαντος δέ μου, πάλιν φησίν. ἰδίην οὖν, ἢ ἐπιδήμιον [18] πρῆγμα διζήμενος δεῦρο ἀφῖξαι. φράζε σαφῶς. καὶ γὰρ ἡμεῖς ὅ τι δυνάμεθα, συνεργήσομεν ἄν. κἀγὼ τὸ μὲν κατ' ἀλήθειαν ἔφην αἴτιον, δεῦρο σεῦ χάριν ἥκω, ξυντυχεῖν σοφῷ ἀνδρί. ἔχει δὲ πρόφασιν ἡ πατρὶς, ἧς πρεσβείην τελέω. ὁ δὲ ξενίῃ τοίνυν φησὶ τὰ πρῶτα κέχρησο ἡμετέρῃ. πεπειρημένος δὲ κἀγὼ κατὰ πάντα τοῦ ἀνδρὸς, καίτοι ἤδη μοι καταδήλου μὴ παραπαίοντος ἐόντος. Φιλοποίμενα οἶσθα ἔφην πολίτην ἐόντα ὑμέτερον; ὁ δὲ, καὶ μάλα, εἶπεν, τὸν Δάμωνος λέγεις υἱόν. ὃς οἰκέει τὰ πρὸς τὴν Ἑρμαΐδα κρήνην. τοῦτον εἶπον. [19] οὗ καὶ τυγχάνω ἐκ πατέρων ἴδιος ξένος. ἀλλὰ σὺ Δημόκριτε, τῇ κρείσσονί με ξενίῃ δέχευ. καὶ πρότερόν γε τί τοῦτο τυγχάνεις γράφων φράζε; ὁ δὲ ἐπισχὼν ὀλίγον, περὶ μανίης ἔφη. κἀγὼ ὦ Ζεῦ βασιλεῦ, φημί. εὐκαίρως γε ἀντιγράφεις πρὸς τὴν πόλιν. ὁ δὲ ποίην φησὶ πόλιν Ἱππόκρατες. ἐγὼ δὲ οὐδὲν ἔφην ὦ Δημόκριτε. ἀλλ' οὐκ οἶδ' ὅπως προσέπεσεν. ἀλλὰ τί περὶ μανίης γράφεις; τί γὰρ εἶπεν ἄλλο, πλὴν εἴ τις τε εἴη, ὅκως ἀνθρώποισιν ἐγγίνεται. [20] καὶ τίνα τρόπον ἀπολωφέοιτο.

τίς τε

τά τε γὰρ ζῶα ταῦτα ὁκόσα ἔφη ὁρῇς, τουτέου μέν τοι γε ἀνατέμνω εἵνεκα, οὐ μισέων θεοῦ ἔργα, χολῆς δὲ διζήμενος φύσιν καὶ θέσιν. οἶσθα γὰρ ἀνθρώποισι παρακοπῆς, ὡς αἰτίη ἐπιτοπολὺ αὕτη πλεονάζουσα, ἐπὶ πᾶσι μὲν φύσει ἐνυπάρχει, ἀλλὰ παρ' οἷς μὲν ἔλαττον, παρ' οἷς δέ τι πλέον. ἡ δὴ ἀμετρίη αὐτῆς, νοῦσοι τυγχάνουσιν, ὡς ὕλης, ὁτὲ μὲν ἀγαθῆς, ὁτὲ δὲ φαύλης ὑποκειμένης. κἀγώ, νὴ Δία, ἔφην, ὦ Δημόκριτε, ἀληθέως γε καὶ φρονίμως λέγεις. ὅθεν εὐδαιμονίαν σε κρίνω, τοσαύτης ἀπολαύοντα ἡσυχίης. ἡμῖν δὲ μετέχειν ταύτης οὐκ ἐπιτέτραπται. ἐρομένου δὲ διὰ τί, ὦ Ἱππόκρατες, οὐκ ἐπιτέτραπται, ὅτι ἔφην, ἢ ἀγροὶ, ἢ οἰκίη, ἢ τέκνα, ἢ δάνεια, ἢ νοῦσοι, ἢ θάνατοι, ἢ δμῶες, ἢ γάμοι, ἢ τοιαῦτά τινα τὴν εὐκαιρίην ἡμέων ὑποτέμνεται. ἐνταῦθα δὴ ὁ ἀνὴρ ἐς τὸ εἰωθὸς πάθος κατηνέχθη καὶ μάλα ἀθρόον τι ἀνεκάγχασε. καὶ ἐπεγέλασε, καὶ τὸ λοιπὸν ἡσυχίην ἦγε. κἀγώ, τί μέν τοι Δημόκριτε, ἔφην, γελᾷς; πότερον τὰ ἀγαθὰ ὧν εἶπον, ἢ τὰ κακά; ὁ δὲ ἔτι μᾶλλον ἐγέλα. καὶ ἄποθεν ὁρέοντες τῶν Ἀβδηριτῶν, οἱ μὲν τὰς κεφαλὰς αὐτῶν ἔπαιον, οἱ δὲ τὰ μέτωπα, οἱ δὲ τὰς τρίχας ἔτιλλον. καὶ γὰρ ὡς ὕστερον ἔφησαν, πλεονάζοντι παρὰ τὸ εἰωθὸς τῷ γέλωτι ἐγεγόνει. ὑποτυχὼν δὴ ἐγώ, ἀλλὰ μὴν ἔφην σοφῶν ἄριστε Δημόκριτε, ποθέω γὰρ αἰτίην τοῦ περὶ σὲ πάθεος καταλαβέσθαι, τίνος ἄξιος ἐφάνην εἶναι γέλωτος, ἢ τὰ λεχθέντα, ὅκως μαθὼν παύσωμαι τῆς αἰτίης, ἢ σὺ ἐλεγχθεὶς, διακρούσῃ τοὺς ἀκαίρους γέλωτας. ὁ δὲ, Ἡράκλεις, ἔφη. εἰ γὰρ δυνήσῃ με ἐλέγξαι, θεραπείην θεραπεύσεις, οἵην οὐδένα οὐδέκω πώποτε ὦ Ἱππόκρατες. καὶ πῶς οὐκ ἐλεγχθείης ἔφην ὦ ἄριστε; ἢ οὐκ οἴῃ ἄτοπός γε εἶναι γελῶν ἀνθρώπου θάνατον; ἢ νοῦσον; ἢ παρακοπήν; ἢ μανίην, ἢ μελαγχολίην; ἢ σφαγὰς, ἢ ἄλλο τι χεῖρον; ἢ τοὔμπαλιν γάμους, ἢ πανηγύριας, ἢ τεκνογονίην, ἢ μυστήρια, ἢ ἀρχὰς, ἢ καὶ τιμὰς, ἢ ἄλλο τι ὅλως ἀγαθόν; καὶ γὰρ ἃ δέον οἰκτείρειν, γελᾷς. καὶ ἐφ' οἷς ἥδεσθαι χρὴ, καταγελᾷς τουτέων. ὥστε μήτε ἀγαθὸν, μήτε κακὸν παρὰ σοὶ διακεκρίσθαι. ὁ δὲ ταῦτα μὲν ἔφη εὖ λέγεις ὦ Ἱππόκρατες, ἀλλ' οὐκ οἶσθα που τοῦ ἡμετέρου γέλωτος αἰτίην. μαθὼν δὴ εὖ οἶδ' ὅτι κρέσσονα τῆς πρεσβείης ἀντιφορτισάμενος ἀποίσεις θεραπείην τὸν ἐμὸν γέλωτα τῇ πατρίδι, καὶ ἑωυτέῳ, καὶ τοὺς ἄλλους δυνήσῃ σωφρονίζειν. αὖθ' ἐν ἴσως κἀμὲ διδάξεις ἰατρικὴν ἀμειβόμενος. γνώσῃ ὅση σπουδὴ περὶ ἀσπούδαστα φιλοτιμεύμενοι ἁρπάζουσι τὰ μηδενὸς ἄξια πάντες ἄνθρωποι τὸν βίον ἀναλίσκοντες, γελώτων ἄξια διαπρήσσοντες. ἐγὼ δὲ φημί, λέγε πρὸς θεῶν, μήποτε γὰρ διαλανθάνει ἅπας ὁ κόσμος νοσέων. καὶ οὐκ ἔχει ὅκου διαπέμψηται πρεσβείην πρὸς θεραπείην. τί γὰρ ἂν εἴη ἔξω αὐτοῦ; ὁ δὴ ὑπολαβὼν, πολλαί γε φησὶν ἀπειρίαι κόσμων εἰσὶν Ἱππόκρατες, καὶ μηδαμῶς ἑταῖρε κατασμικρολόγει τὴν πλουσίην φύσιν ἐοῦσαν. ἀλλὰ ταῦτ' ἔφην Δημόκριτε, διδάξεις ἐν ἰδίῳ καιρῷ. δέδοικα μὲν γὰρ μήπως καὶ τὴν ἀπειρίην διεξιὼν, γελᾶν ἄρξῃ. ἴσθι δὲ νῦν περὶ τοῦ σοῦ γέλωτος τῷ βίῳ λόγον δώσων. ὁ δὲ μάλα τρανὸν ἀπιδών με, δύο φησὶ τοῦ ἐμοῦ γέλωτος αἰτίας δοκέεις, ἀγαθὰ καὶ φαῦλα. ἐγὼ δὲ ἕνα γελῶ τὸν ἄνθρωπον. ἀνοίης μὲν γέμοντα, κενεὸν δὲ πρηγμάτων ὀρθῶν πάσαις ἐπιβουλαῖς νηπιάζοντα καὶ μηδεμιῆς εἵνεκεν ὠφελείας ἀλγέοντα τοὺς ἀνηνύτους μόχθους. πείρατα γῆς καὶ ἀορίστους μυχοὺς ἀμετρίῃσιν ἐπιθυμίῃσιν ὁδεύοντα.

Hæc enim, inquit, quæ vides animantia huius certè rei gratia reſeco, minimè Dei opera odio proſequẽs, ſed bilis naturam & ſedem inquirens. Noſti enim quòd hæc vbi redundarit, vt plurimùm hominum inſaniæ cauſa eſt. In omni quidem natura ineſt, ſed in aliis quidem minùs, in aliis verò copioſiùs. Huius autem immoderantia morbi exiſtunt, velut materia, partim quidem bona, partim verò mala ſubiecta. Tũ ego, per Iouem, inquam, ô Democrite, verè & ſapienter ais. Perinde te beatum iudico, qui tanta quiete foueris, cuius participes eſſe nobis non liceat. At eo interrogante, cur Hippocrates non liceat? Quod, inquam, aut agri, aut res familiaris, aut liberi, aut æs alienum, aut morbi, aut mortes, aut ſerui, aut nuptiæ, aut eiuſmodi quædam huius opportunitatem nobis reſcindant. Tum ſanè vir ille in ſolitam affectionem delapſus, & abunde in riſum effuſus eſt, & vehementiùs irriſit, ac de cætero quieuit. At ego, quid ſanè Democrite (inquam) rides? num de bonis aut malis quæ dixi? Ille verò adhuc magis ridebat Quod procul videntes Abderitæ, partim quidem capita, partim verò frontem cædebant, quidam etiam capillos euellebant. Nam quemadmodum poſtea narrarunt, copioſiore quàm ſolitus eſſet riſu vſus fuerat. Tum ego. At verò ſapientum optime Democrito (huius enim tui affectus cauſam deprehendere cupio) quoniam tibi riſu dignus viſus ſum, aut ea quæ dicta ſunt, vt hoc cognito, cauſa deſiſtam, vel tu reprehenſus, importunos hos riſus ſummoueas. Tum ille, ſi (me hercule) inquit, redarguere me poteris, curationem Hippocrates, qualem nullus vnquam feceris. Et quomodo (inquam) optime, reprehenſione dignus non videaris, aut te abſurdum non eſſe putas, ſi hominum mortem rides, aut morbum, aut dementiam, aut inſaniam, aut melancholiam, aut cædem, aut quid peius? Aut contra, nuptias, aut conuentuum celebritates, aut liberorum natales, aut myſteria, aut magiſtratus, aut honores, aut aliud quid prorſus bonum? Quæ enim commiſeratione digna ſunt rides, & de quibus lætari oporteat, ea etiam derides adeo vti apud te neque boni, neque mali vllum ſit diſcrimen. At ille, rectè quidem dicis Hippocrates, verùm riſus noſtri cauſam nondum noſti, quã cùm didiceris, certus ſum quòd meum riſum meliorem curationem pro tua legatione patriæ tibiq; ipſi reportabis, qua etiam alios prudentiores reddere poteris. Pro quibus fortaſſe me etiam Medicinã mutuo docueris, vbi cognoueris quanto ſtudio omnes homines ad ea quæ negligenda ſunt & nullius pretij facienda contendunt, & in his quæ riſu digna ſunt conſectandis vitam conſumunt. Tum ego, dic per Deos inquam, nunquid omnis mundus ſe ęgrotare ignorat, neque habet vnde ſui curationem legatione acceſſat? Quid enim extra eum eſſe poteſt? Quo audito, multæ (inquit) ſunt Hippocrates mundorum infinitates, noliq; (amice) naturam diuitem vt paruã exiſtimare. Sed hæc Democrite (inquam) ſuo tẽpore docebis. Vereor enim ne ſi quando infinitatem percenſueris, ridere incipias. Nunc verò de tuo riſu in vita reddendam eſſe tibi rationem puta. At ille admodum perſpicuè in me intuens, Duas, inquit, mei riſus cauſas exiſtimas, bona & mala. At ego vnum hominẽ rideo, amentia quidem refertum, rectè factis vacuũ, in omnibus conſiliis pueriliter agentem, nullius vtilitatis gratia immenſos labores tolerantem, terræ fines & infinitos receſſus argenti & auri comparandi

gratia immoderatis cupiditatibus peragrantem, & nunq iam ab his comparandis ceſſantem, ſemper verò ad copiam tumultuantem, ne ſi ea deſtituatur, pudore ſuffundatur, quòd felix non dicatur. Quod in terræ hiatus inquirens, eorum manibus effodiat, qui partim quidem à terra inani intereunt, partim verò diutius hac neceſſitate detenti, in ſupplicio tanquam in patria permanent, aurum & argentum perquirentes, pulueris veſtigia & ramenta perueſtigantes, arenam aliam aliunde excitantes, & terræ venas excindentes, ad opulentiam ſemper terram matrem tanquam hoſtilem in glebas proſcindunt, quam eandem etiam cum admiratione calcant. Quantum verò rideri debet quod terram latentem cum labore amát, apertam contumelia afficiunt. Canes emunt, quidam etiam equos, quidam verò multa circumſcripta regione eam ſibi adſcribunt, & cùm multis dominari velint, ſibiipſis imperare nequeunt. Vxores ducere cupiunt, quas paulò poſt repudiant, amant, deinde odio proſequuntur, cum cupiditate liberos ſuſcipiunt, deinde eos adultos abdicant. Quodnam hoc inane ſtudium & rationis expers, nihilque ab inſania diſcrepans? Bellum inteſtinum gerunt, quietem optabilem non ducunt, regibus viciſſim inſidias tendunt, homines necant, defoſſa terra argentum inueſtigant, argento reperto terram emere cupiunt, terra empta fructum diuendunt, fructibus diſtributis rurſus argentum capiunt. Quibus mutationibus & quantis vitiis obnoxij? Cùm opes non habeant, eas expetunt, ſi habent, abſcondunt, diſſipant. Eorum res aduerſas derideo, eorum infortunia intento riſu excipio. Veritatis enim inſtituta violant, contentionis ſtudio hoſtiles inter ſe rixas habent. Cum fratribus verò, parentibus, & ciuibus mutuas cædes exercent, idque pro iis poſſeſſionibus quarum nemo poſt mortem dominus eſſe poteſt. Iniuſtam vitam conſectantes, amicorũ & patriæ inopiam deſpiciunt, indigna & inanimata diuitiarum loco habent, pro vniuerſis facultatibus ſtatuam mercantur, quòd ſimulachrum loqui videatur, eos verò qui verè loquuntur odio habent. Res non faciles amore proſequuntur, in continente habitantes, maritima expetunt, rurſuſq; inſulas tenentes, continentẽ affectant. cunctaque in ſuam cupiditatem peruertunt. Et in bello quidem fortitudinem laudare videntur, at in dies à libidinum indulgentia & auaritia vincuntur, & affectibus omnibus tenentur. Therſitis autem vitam omnes referunt. Qua verò in re riſum meum Hippocrates reprehendiſti? Neque enim quiſquam ſuam, ſed alter alterius amentiam deridet hi quidem ebrios, cùm ipſi ſibi ſobrij videantur, alij amantes, cùm ipſi grauiore morbo laborent, hi verò nauigantes, alij agriculturæ deditos. Neque enim artibus, neque operibus inter ſe conſentiunt. Tum ego, hæc quidem, inquam vera ſunt Democrite, neque alia quæpiam oratio ad conuincendam mortalium miſeriam cõmodior eſſe poſſit. Verùm ipſæ actiones hanc neceſſitatem veluti decreto quodam imponunt, ad rei domeſticæ diſpenſationẽ, nauium fabricationem, & reliquam reipublicę adminiſtrationem, in qua verſari hominem oportet. Neque enim ad inertiam eum natura procreauit. Ex his rurſus latè ſparſa ambitio, multorum rectè ſentientem animam aberrare coegit, qui ad omnia velut ſine lapſu ſummo ſtudio contendunt, non tamen obſcuritatẽ præuidere poſſunt Quis enim (ô Democrite) vxorem ducens diuortium aut mortem cogitat?

[66] ἀργύρεσι κτίζοντα, καὶ χρυσίῳ. καὶ μὴ παυόμενον τῆς κτήσιος ταύτης. ἀεὶ δὲ θορυβεύμενον περὶ τὸ πλέον ὅκως αὐτὸς ἐλάσσων μὴ γένηται, καὶ οὐδὲ αἰσχύνεται μὴ λεγόμενος εὐδαίμων. οἳ χάσματα τῆς γῆς ὀρύσσουσι διζήμενοι χερσίν, ὧν οἱ μὲν ὑπὸ ξυμφορῆς [67] ἐπιπιπτούσης τῆς γῆς ἐφθάρησαν, οἱ δὲ πολυχρονίως ταύτην ἔχοντες τὴν ἀνάγκην ὡς ἐν πατρίδι τῇ κολάσει διαμένουσιν, ἀργύριον καὶ χρυσίον μαστεύοντες, ἴχνη κόνιος καὶ ψήγματα ἐρευνῶντες. ψάμμον δὲ ἄλλην ἀλλαχόθεν [68] ἐγείροντες, καὶ τῆς γῆς φλέβας ἐκτέμνοντες ἐς περιουσίην ἀεὶ βῶλον ποιέοντες ἐκ γῆς τὴν μητέρα πολεμίην γῆν καὶ τὴν αὐτὴν εὖ ἔχουσαν, καὶ θαυμάζοντες πατέουσιν. ὅσος γέλως ἐπὶ μόχθου, καὶ κρυφίης γῆς ἐρῶσι τὴν δὲ φανερὴν ὑβρίζοντες. κύνας ὠνεῦνται, οἱ δὲ ἵππους. οἱ δὲ χώρην πολλὴν περιορίζοντες, ἰδίην ἐπιγράφουσι. καὶ πολλῶν ἐθέλοντες δεσπόζειν, οὐδὲ αὐτέων δύνανται. γαμεῖν σπεύδουσιν, ἃς μετ' ὀλίγον ἐκβάλλουσιν. ἐρῶσιν, εἶτα μισέουσι. μετ' ἐπιθυμίης γεννῶσιν. εἶτ' ἐκβάλλουσι τελείους. τίς ἡ κενὴ σπουδὴ, καὶ ἄλογος, μηδὲν μανίης διαφέρουσα; πολεμοῦσιν ἐμφύλιοι, ἠρεμίην οὐχ αἱρετίζοντες. [69] ἀντεφεδρεύουσι βασιλέας. ἀνδροφονέουσι. γῆν ὀρύσσοντες, ἀργύριον ζητέουσι. ἀργύριον δὲ εὑρόντες, γῆν ἐθέλουσι πρίασθαι. ὠνησάμενοι γῆν, καρποὺς πιπράσκουσι. [70] καρποὺς ἀποδόμενοι, πάλιν ἀργύριον λαμβάνουσιν, ἐν ὅσαις μεταβολαῖς εἰσίν, ἐν ὅσῃ κακίῃ; οὐσίην μὴ ἔχοντες, [71] οὐσίην ποθέουσι, ἔχοντες, κρύπτουσιν. ἀφανίζουσι. καταγελῶ, ἐφ' οἷς κακοπραγέουσιν. ἐπιτείνω τὸν γέλωτα, ἐφ' οἷς δυστυχέουσι. θεσμοὺς γὰρ ἀληθείας παραβεβήκασι. φιλονεικέοντες ἔχθρην πρὸς ἀλλήλους δῆθεν ἔχουσι, μετὰ δὲ ἀδελφῶν καὶ γονέων, καὶ πολιτῶν, καὶ ταῦτα ὑπὲρ τοιούτων κτημάτων ὧν οὐδεὶς θανὼν δεσπότης ἐστίν, ἀλληλοκτονέουσιν. ἀθεσμόβια φρονέοντες φίλων καὶ πατρίδας ἀπορίην ὑπερορῶσι. πλουτίζουσι τὰ ἀνάξια καὶ τὰ ἄψυχα. ὅλης τῆς οὐσίης ἀνδριάντα ὠνέονται, ὅτι δοκέει λαλέειν τὸ ἄγαλμα. τοὺς δὲ ἀληθέως λαλέοντας, μισέουσι. τῶν γὰρ μὴ ῥηιδίων ἐφίενται. καὶ γὰρ ἤπειρον οἰκέοντες, θάλασσαν ποθέουσι. καὶ πάλιν ἐν νήσοις ἐόντες, [72] ἠπείρους γλίχονται. καὶ πάντα διαστρέφουσιν ἐς ἰδίην ἐπιθυμίην. καὶ δοκέουσι μὲν ἐν πολέμῳ ἀνδρείην ἐπαινεῖν, νικῶνται δὲ καθ' ἡμέρην, ὑπὸ τῆς ἀσελγείης, ὑπὸ φιλαργυρίης. ὑπὸ τῶν παθέων πάντων νοσέουσι. [73] Θερσῖται δ' εἰσὶ τοῦ βίου πάντες. τί δή με Ἱππόκρατες ἐμέμψω γελῶντα; οὐ γὰρ αὐτὸς τῆς ἰδίης ἀνοίης, ἀλλὰ ἄλλος ἄλλου καταγελᾶται. οἱ μὲν τῶν μεθυόντων, ὁπόταν αὐτοὶ δοκέωσι νήφειν. οἱ δὲ τῶν ἐρώντων, χαλεπωτέρην νοῦσον νοσέοντες αὐτοί. οἱ δὲ τῶν πλεόντων. ἄλλοι δὲ τῶν περὶ γεωργίην ἀσχολευμένων. οὐ συμφωνέουσι γὰρ οὔτε ταῖς τέχναις, οὔτε τοῖς ἔργοις. ἐγὼ δὲ ταῦτα μὲν ἔφην ἀληθέα Δημόκριτε. οὐδ' ἄλλος τις ἂν εἴη λόγος ἁρμοδιώτερος ἐξαγγέλλων ταλαιπωρίην θνητῶν, ἀλλ' αἱ πρήξιες νομοθετέουσι τὴν ἀναγκαίην, οἰκονομίης τε εἵνεκα, καὶ ναυπηγίης, καὶ τῆς ἑτέρης πολιτείης, ἐν ᾗ χρεὼν εἶναι τοὺς ἀνθρώπους. οὐ γὰρ εἰς ἀργίην αὐτὸν ἡ φύσις ἐγέννα. ἐκ τουτέων δὲ πάλιν φιλοδοξίη χυθεῖσα, ἔσφηλε πολλῶν ὀρθογνώμονα ψυχήν. σπουδαζόντων μὲν ἅπαντα, [74] ὡς ἐπὶ ἀδιαπτωσίην, μὴ καθορώντων δὲ τὴν ἀδηλότητα προορῆσθαι, εἴ τις γὰρ ὦ Δημόκριτε γαμέων, ἢ χωρισμὸν ἢ θάνατον προσεδέχετο,

τίς δ' ὁμοίως παιδοτροφέων ἀπώλεσεν. ἀλλ' οὐδ' ἐν γεωργίῃ, καὶ πλοίῳ, καὶ βασιληΐῃ, καὶ ἡγεμονίῃ, καὶ τοῖς πᾶσιν ὅσα ὑπάρχει κατὰ τὸν αἰῶνα. οὐδεὶς γὰρ προὔλαβεν πταῖσαι. ἀλλ' ἀγαθοῖσιν ἕκαστος τουτέων ἐλπίσι φέρβεται. τῶν δὲ χερειόνων οὐδὲ μέμνηται. μή ποτ' οὖν ὁ σὸς γέλως τουτέοις ἀνάρμοστος, ὁ δὲ Δημόκριτος, μάλα ἔφη νωθὴς τὸν νόον ὑπάρχεις καὶ μακρὰν γε τῆς ἐμῆς γνώμης ἀπόδημος Ἱππόκρατες, ἀταραξίης καὶ ταραχῆς μέτρα μὴ ἐπισκοπέων, δι' ἄγνοιαν. ταῦτα γὰρ αὐτὰ, διανοίῃ φρενήρει διοικέοντες, αὐτοί τε ῥηϊδίως ἀπηλλάσσοντο, καὶ τὸν ἐμὸν ἐλαφρὸν γέλωτα. [75] νῦν δ' ὡς ἐπ' ἀγαθοῖσι τοῖς ἐν τῷ βίῳ φρενοβλαβέες τετύφλωνται ἀσυλλογίστῳ διανοίῃ τῆς ἀτάκτου φορῆς ἀδιδάκτοι. νουθεσίη γὰρ αὐτάρκης ὑπάρχει ἡ τῶν ξυμπάντων μεταβολὴ, ὀξείῃσι τροπῇσιν ἐμπίπτουσα, αἰφνιδίην τροχηλασίην πομπείην ἐνιοῦσα. οἱ δ' ὡς ἐπ' ἀπηρτυίῃ, καὶ βεβαίῃ ἐκλελησμένοι παθέων κατὰ τὸ ξυνεχὲς ἐμπιπτόντων, [76] ἄλλοτε ἄλλος ποθέοντες τὰ λυπέοντα, διζήμενοι τὰ μὴ ξυμφέροντα, ἐγκυλινδέονται πολλῇσι ξυμφορῇσι. [77] εἰ δέ τις ἐμετρίαζεν κατὰ δύναμιν ἰδίην, τὰ ξύμπαντα ἔρδειν, ἀδιαπτώτως ἐφρούρεε ζωὴν, ἑωυτὸν ἐξεπιστάμενος, καὶ ξύγκρισιν ἰδίην σαφῶς κατανοήσας, καὶ μὴ τῆς ἐπιθυμίης τὴν σπουδὴν, ἐς ἄπειρον ἐκτείνων. τὴν δὲ πλουσίην φύσιν, καὶ πάντων τιθηνὸν, [78] δι' αὐταρκείης ὁδοιπορέων. καθάπερ δὲ τῶν παθέων εὐεξίη κίνδυνος πρόδηλος, οὕτω τὸ μέγεθος τῶν εὐτυχημάτων σφαλερόν ἐστιν. ἀρίσημοι δ' ἐν τῇσι κακοδαιμονίῃσι ξυνθεωρέονται. [79] ἄλλοι δὲ τὰ τῶν παλαιῶν μὴ ἱστορέοντες ὑπὸ τῆς ἰδίης κακοπραγμοσύνης ἀπώλλοντο. τὰ δῆλα καθάπερ ἄδηλα μὴ προθεωρέοντες. ὑπόδειγμα τὸν μακρὸν βίον ἔχοντες, γινομένων καὶ μὴ γινομένων. ἐξ ὧν καὶ τὸ ἐσόμενον ἔδει κατανοῆσαι. ταῦθ' ὁ ἐμὸς γέλως ἀνοήτους ἀνθρώπους. πονηρίης δίκας ἐκτίνοντες. φιλαργυρίης. ἀπληστίης. ἔχθρης. ἐνέδρης. ἐπιβουλίης. βασκανίης. ἀργαλέον ἐξειπεῖν πολυμηχάνου κακίης. ἀπειρίη γάρ τίς ἐστι κἀν τουτέοις δολοπλοκίησιν. ἀνθομιλεόντες, σκολιόφρονες, ἀρετῆς δὲ παρ' αὐτέοις τρόπος ἐστὶ, τὸ χεῖρον. φιλοψευδίην γὰρ ἀσκέουσι. φιληδονίην κοσμέουσι. νόμοις ἀπειθέοντες. [80] ὁ δ' αὐτέων καταγελᾷ τὴν ἀπροαιρεσίην. μήτε ὁράσεως, μήτε ἀκοῆς μετέχοντας, μούνη δ' αἴσθησις ἀνθρώπου ἀτρεκείῃ διανοίης τηλαυγὴς, τό τε ὂν, καὶ τὸ ἐσόμενον προορεομένη διαρεστέονται πᾶσι, καὶ πάλιν τοῖς αὐτέοις ἐμπελάζονται. ἀρνησάμενοι πλόον, πλέουσι. γεωργίην ἀπωσάμενοι, αὖτις γεωργέουσιν. ἐκβάλλοντες γαμετὴν, ἑτέρην εἰσάγονται, θρηνήσαντες, ἔθαψαν. θάψαντες, ἐθρήνησαν. πάλιν τρέφουσι. γῆρας εὐξάμενοι ἐς αὐτὸ δ' ἀφικόμενοι στενάζουσιν. ἐν οὐδεμιῇ καταστάσει βέβαιον ἔχοντες τὴν γνώμην. ἡγεμόνες, καὶ βασιλέες μακαρίζουσι τὸν ἰδιώτην. ὁ δ' ἰδιώτης, ἐρᾶται βασιληΐης. ὁ πολιτευόμενος, τὸν χειροτέχνην, ὡς ἀκίνδυνον. ὁ δὲ χειροτέχνης ἐκεῖνον, ὡς εὐτυχέοντα κατὰ πάντων. τὴν γὰρ ὀρθὴν κέλευθον τῆς ἀρετῆς οὐχ ὁρέουσι καθαρὴν, καὶ λείην, καὶ ἀπρόσκοπον πᾶσιν, εἰς ἣν οὐδεὶς τετόλμηκεν ἐμβαίνειν. φέρονται δ' ἐπὶ τὴν ἀπηνῆ καὶ σκολιὴν τραχυβατέοντες καταφερόμενοι. καὶ προσκόπτοντες. οἱ δὲ πλεῖστοι ἐκπίπτοντες. ἀσθμαίνοντες ὡς διωκόμενοι. ἐρίζοντες. ὑστερέοντες, προηγούμενοι.

aut liberos educans,interitum? Sed neq; in agricultura & nauigatione,regno,imperio,& omnibus quæ ſunt in vita. Nemo enim ſe aberraturum animo ante percepit,ſed quiſque horum bona ſpe paſcitur, deteriora verò ne meminit quidem. Num igitur tuus hic riſus his minimè conuenit? Tum Democritus, Tardo, inquit,es admodum ingenio, proculque à mea ſententia peregrinaris Hippocrates, neq; tranquillitatis & perturbationis modum propter ignorantiam proſpicis. Qui enim hæc ipſa prudenti cogitatione diſponunt,ij & facilè liberantur,& meum riſum ſubleuant. Nunc verò velut in rebus vitæ conuenientibus mente capti cæcutiunt, neq; mente ratiocinationis expertè,inordinatū impetum facilè addiſcunt. Satis enim fuerit hæc admonitio,rerum omnium commutatio, quæ ſubditis conuerſionibus incidens, repentinam & omnimodam rerum velut rotarum agitationem in mentis notione reponit. Illi verò tanquam hæc adaptata ſit & firma, affectionum continenter incidentium obliti,aliter alios quæ triſtitiam adferūt experentes,quæ ſunt incōmoda inquirentes, in multis calamitatibus aſſiduè verſantur. Quòd ſi quis omnia quæ facit pro viribus mente verſaret vitam ab omni caſu immunem ſeruaret,ſe ipſe probe noſcēs, & ſuam ipſius concretionem apertè intelligens,cupiditatis ſtudium in infinitum non extenderet,ſed naturam diuitem & omnium alumnam,per ea quę abunde ſuppetūt ſequeretur. Quemadmodum autem optimus corporis habitus affectionum periculū denunciat,ſic magnus rerum ſucceſſus lubricus eſt. Rebus autem in aduerſis inſignes conſpiciuntur. Alij verò antiquorū res minimè oculis ſubiicientes,prauis ſuis actionibus pereunt,manifeſta velut obſcura non prouidentes,cùm tamen longam vitam exemplum habeant eorum quæ fiunt & non fiunt, ex quibus quod futurum eſt cognoſcere oportebat. Hæc eſt mei riſus materia,homines imprudentes,improbitatis ſuę pœnas dantes auaritiæ,inexplebilis cupiditatis, inimicitiarum,inſidiarū,ſubdolorum conſiliorū,inuidentię. Difficilè eſt multorum malorū machinatricē ſolertiam verbis exprimere,cùm eorū ſit infinitas quædā, & in his cum doloſis cōmentis praua mente inter ſe conuerſentur. Apud eos autē virtutis modus habetur, quod eſt deterius. Mendacia enim amant, & in his ſe exercent,voluptatis ſtudiū extollūt, legibus minimè parentes. Hic autē meus riſus quę ab his nullo propoſito conſilio fiunt cōdemnat,cum neq; viſionis, neq; auditionis participes ſint. At ſolus hominis ſenſus recta intelligentia eminus ſplendeſcens, quod præſens & futurū eſt præuidet. Omnia deteſtantur, ac rurſus ad eadē ſe adiungunt, nauigationē auerſantes, nauigant,agricultura propulſata,rurſus agrum colunt,abdicata vxore,aliā inducunt, ſuſceptos liberos ſepeliunt,& his ſepultis alios procreant,& rurſus educant, ſenectutē exoptant,cumq; eò peruenerint, gemunt, nulloq; in ſtatu firma mente perſiſtunt. Principes ac reges priuatum beatū prædicant, priuatus regiū imperium affectat. Qui rempublicam regit,artificē tanquam periculi expertem laudat,artifex verò illū velut in omnia potentiam exercentem. Rectam enim virtutis viam puram,minimeq; aſperam, ac inoffenſam non cernunt,per quam nullus incedere ſuſtinet. Per inacceſſam autem & tortuoſam feruntur, & per aſpera delati incedunt & offendunt, plærique etiam decidunt, velut ſi quis perſequatur anhelantes, partim ſequentes, partim præcedentes contendunt.

Et eorum quoſdam impudentia fretos nefandi alieni cubilis corrumpendi amores ſuccendunt, quoſdam etiam inordinatus auaritiæ morbus tabefacit, alij mutuas inſidias ſtruunt. Alij verò ambitionis ſtudio in aëra ſubuecti, ſceleris grauitate in exitij profundũ præcipites deferuntur, diruunt, deinde ædificant, beneficium conferendo gratiam demerentur, deinde pœnitentia ducti, amicitiæ iura violant, maleque afficiendo ad inimicitias deueniunt, & cognationis iura bello appetunt, horumq; omnium auaritia cauſa eſt. Quanam in re ab infantibus ludibundis diſcrepant? quos, cum mens iudicio careat, quicquid ſeſe forte obtulit, delectat. Quòd ad cupiditates attinet, non multum à brutis animantibus differũt, niſi quod feræ in eo quod ſatis eſt ſe continent. Quinam enim leo aurum defoſſum in terram abdidit? Quinam taurus alienum vſurpandi cupiditate, ad prœlium impetu quodam delatus eſt? Quæ pardalis inexplebilem auiditatem admiſit? Sitit quidem aper, ſed quantum aquæ appetit. Lupus verò dilaniato quod ſeſe obtulit neceſſario alimento, quieſcit. At ſi dies iungantur noctibus, hominem non capit comeſſandi ſatietas. Et anniuerſariorum temporum ordo, brutis quidẽ animantibus coitus finem adfert, hic verò inſano libidinis ſtimulo continenter agitatur. Quomodo Hippocrates, eiulantem ob amorem quòd ſuo cõmodo priuetur, nõ derideam? præcipueq; ſi quis nullo habito periculorum delectu per præcipitia & alta maria feratur, intenſo riſu non excipiam? Nõ ridebo eum qui nauem multis mercibus onuſtã demerſit, deinde mare incuſantem quòd eam plenam ſubmerſerit? Equidem hęc minimè ridicula duco, verùm in eos aliquid moleſti excogitare cuperem. Sed neq; pro his medicinam eſſe oportuit, neq; aliquẽ qui Pæonia medicamenta conficeret. Cuius rei te admonere debeat tuus ille progenitor Æſculapius, qui pro ſeruatis hominibus, gratam beneficij recordationem fulminis ictus reportauit. Non vides me quoq; huius vitij participẽ eſſe, dum in inſaniæ cauſam inquirens, animantia macto ac reſeco, quam in hominibus perſcrutari oportuit? Nonne vides mundum ipſum inhumanitate redundare, & infinitas aduerſus hominẽ affectiones cumulare? Totus homo ab ipſo ortu morbus eſt. Dum educatur inutilis, auxilium ſupplex implorat; dum increſcit, improbus & demens eſt, inſtitutione puerili indigens; in ætatis vigore conſtitutus, audax; ætate marceſcens, miſerabilis, ſuos labores per imprudentiam excolens. Talis enim ex materno cruore ſanie permixto promicuit. Proptereaq; hi quidem indignabundi & immodica ira referti in calamitatibus & pugnis, alij in adulteriis & ſtupris perpetuò verſantur, alij in ebrietatibus, alij in rerum alienarum cupiditatibus, alij in ſuis perdendis. Quòd ſi poſſemus nullo intus relicto velamento omnium habitationes detegere, deinde ita quæ intus aguntur inſpicere, hos quidem edere videremus, illos verò vomere, alio indignis verberibus torquere, alios venena miſcere, alios inſidias ſtruere, alios rationibus ſtudere, hos gaudere, illos plorare, hos amicorum accuſationem meditari, illos verò nimia ambitione deſipere. Et certè quædam ſunt in animis altiùs reconditæ actiones. Et in his partim quidẽ iuuenes, partim verò ſenes, petentes, denegantes, pauperes, rebus affluentes, fame oppreſſi. Hi luxu grauati, ſordidi, vincti, illi verò deliciis geſtiẽtes, multos alẽtes. Alij iugulantes, alij ſepelientes, ea quæ habent pro nihilo habẽtes,

καὶ οἷς μὲν αὐτέων, ἔρωτες ἀτάσθαλοι ἐπιπεφοιτήκασιν ἀλλοτρίης εὐνῆς φθορῇ, ἀναιδείης πίσυνες. οἷς δὲ τὴν φιλαργυρίης νοῦσος, ἀόριστος. οἱ δὲ ἀλλήλοις ἀντεπιβουλεύονται. οἱ δὲ ὑπὸ φιλοδοξίης εἰς ἠέρα ἀνενεχθέντες, βρίθει κακίης, εἰς βυθὸν ἀπωλείας καταφέρονται. κατασκάπτουσιν. εἶτα ἐποικοδομοῦσι. χαρίζονται. εἶτα μετανοοῦσι, καὶ ἀφαιρέονται τὰ φιλίης δίκαια. κακοπραγμονοῦντες εἰς ἔχθρην τὰ ξυγγενείης πολεμοποιοῦντες. ἐκ τουτέων πάντων αἰτίη φιλαργυρίη. τί νηπίων ἀθυρόντων διαφέρουσι; παρ' οἷς ἄκριτος μὲν ἡ γνώμη, τὸ δὲ προσπεσὸν τερπνόν. ἐν δὲ τοῖς θυμοῖς, τί τῶν ἀλόγων ζώοις ἀλλήλοις διαλείπουσιν; πλὴν ὅτι ἐν αὐταρκείῃ μένουσιν οἱ θῆρες. τίς γὰρ λέων ἐς γῆν κατέκρυψε χρυσόν; τίς ταῦρος πλεονεξίην ἐκορύξατο; τίς πάρδαλις ἀπληστίην κεχώρηκε; διψῇ μὲν ἄγριος σῦς, ὅσον ὕδατος ὀρεχθῇ. λύκος δὲ διαρπάσας τὸ προσπεσὸν τῆς ἀναγκαίας τροφῆς, ἀναπέπαυται. ἡμέρῃσι δὲ καὶ νυξὶ ξυναπλομένῃσιν, οὐκ ἔχει θοίνης κόρον ἄνθρωπος. καὶ χρόνων μὲν ἐνιαυσίων τάξις ὀχείης, ἀλόγοισι τέρμα ἐστίν. ὁ δὲ τὸ διηνεκές, οἶστρον μανίην ἔχει τῆς ἀσελγείης. Ἱππόκρατες μὴ γελάσω τὸν κλαίοντα δι' ἔρωτα, ὅτι ξυμφερόντως ἀποκέκλεισται, μάλιστα δὲ τὸν ῥιψοκινδυνεῦντα, καὶ φέρηται κατὰ κρημνῶν, ἢ βυθῶν πελάγεος ἐπιτείνω οὐ γέλωτα; μὴ γελάσω οὖν τὴν νῆα πολλοῖσι φορτίοισι βαπτίσαντα, εἶτα μεμφόμενον τῇ θαλάττῃ ὅτι κατεβύθισεν αὐτὴν πλήρη; ἐγὼ μὲν οὐδαμῶς δοκέω γελοῖα, ἐχθρῶν δὲ καὶ αὐτέων ἤθελον τι λυπηρόν. ἀλλ' οὐδὲ ἰητρείην ὑπὲρ τουτέων ἐχρῆν εἶναι, μήτε τεχνωμένων παιώνια φάρμακα. ὁ σὸς προπάππος Ἀσκληπιὸς νουθετείτω σε, ἀμειφθεὶς σώζων ἀνθρώπους, κεραυνοῖς ἠχαρίστηται. οὐχ ὁρῇς ὅτι κἀγὼ τῆς κακίης μοῖρα εἰμί, μανίης διζήμενος αἰτίην, ζῷα κατακτείνω καὶ ἀνατέμνω, ἐχρῆν δὲ ἐξ ἀνθρώπου τὴν αἰτίην ἐρευνῆσαι. οὐχ ὁρῇς ὅτι καὶ ὁ κόσμος μισανθρωπίης πεπλήρωται; ἄπειρα καὶ αὐτέου πάθεα ξυνήθροικεν. ὅλος ἄνθρωπος ἐκ γενετῆς νοῦσός ἐστιν. τρεφόμενος ἄχρηστος ἱκέτης βοηθείης. αὐξανόμενος, ἀτάσθαλος, ἄφρων, ἐνδεὴς παιδαγωγίης. θρασὺς, ἀκμάζων. παρακμάζων, οἰκτρός. ἐν ἰδίοις πόνοις ἀλογιστίῃ γεωργήσας. ἐκ μητρῴων γὰρ λύθρων, ἐξέθορε τοιοῦτος. διὰ τοῦτο οἱ μὲν θυμικοὶ καὶ ὀργῆς ἀμέτρου γέμοντες, ἐν ξυμφορῇσι καὶ μάχῃσι. οἱ δὲ ἐν φθορῇσι, καὶ μοιχείῃσι διὰ παντός. οἱ δὲ ἐν μέθῃσιν. οἱ δὲ ἐν ἐπιθυμίῃσι τῶν ἀλλοτρίων. οἱ δὲ ἐν ἀπωλείῃσι τῶν σφετέρων. ὄφελον δυνάμεις ὑπῆρχε τὰς ἁπάντων οἰκήσιας ἀνακαλύψαντα μηδὲν ἀφεῖναι τῶν ἐντὸς παρακάλυμμα. εἶθ' οὕτως ὁρῶ τὰ πρησσόμενα ἔνδον. εἴδωμεν ἂν οὓς μὲν ἐσθίοντας. οὓς δὲ ἐμέοντας. ἑτέρους δὲ αἰκίῃσι στρεβλέοντας. ἐνίους δὲ φάρμακα κυκῶντας. ἐνίους δὲ ξυννοέοντας ἐπιβουλίην. ἐνίους δὲ ψηφίζοντας. ἄλλους χαίροντας. ἐνίους δὲ κλαίοντας. ἐνίους δὲ ἐπὶ κατηγορίῃ φίλων ξυγγράφοντας, ἐνίους δὲ διὰ φιλοδοξίην ἐκφρενέας. καί γε τινὲς βαθύτεραι πρήξιες, τῶν κατὰ ψυχὴν κευθομένων. καὶ τουτέων ὁκόσοι μὲν νέοι, ὁκόσοι δὲ πρεσβῦται, αἰτέοντες, ἀρνεόμενοι, πιεζόμενοι, περιουσιάζοντες, λιμῷ θλιβόμενοι. οἱ δὲ ἀσωτίῃ βεβαρημένοι. ῥυπόωντες. δέσμιοι. οἱ δὲ τρυφῇσι γαυριῶντες. τρέφοντες, ἄλλοι σφάζοντες. ἄλλοι θάπτοντες. ὑπερορέοντες ἃ ἔχουσι.

περὶ

[illegible] ἐλπιζομένας κτήσιας [illegible] οἱ μὲν ἀναι[illegible], οἱ δὲ φειδωλοί, οἱ δὲ ἄπληστοι, οἱ μὲν φονεύοντες, οἱ [illegible], οἱ δὲ [illegible] φυσῶντες. οἱ δὲ ἐκπεπληγμένοι κενοδοξίῃ. οἱ μὲν ἵπποισι παρεστῶτες, οἱ δὲ ἀνδράσιν, οἱ δὲ κυσίν, [illegible] ξύλοισιν, οἱ δὲ χαλκῷ, οἱ δὲ γραφῇσι. καὶ οἱ μὲν πρεσβείῃσιν, οἱ δὲ στρατηγίῃσιν, οἱ δὲ ἱερωσύνῃσιν. οἱ δὲ στεφανοφορέοντες. οἱ δὲ ὁπλῖται. οἱ δὲ ἀποκτεινόμενοι. φέρονται δὲ τουτέων ἕκαστοι μὲν ἐπὶ ναυμαχίην, οἱ δὲ ἐπὶ στρατιήν, οἱ δὲ ἐπὶ γεωργίην. ἕτεροι δὲ ἐπὶ φορτίδας νηῦς. οἱ δὲ εἰς ἀγορὴν. ἕτεροι δὲ ἐπ' ἐκκλησίην, οἱ δὲ ἐπὶ θέητρον, οἱ δὲ ἐς φυγὴν, ἄλλοι δὲ ἄλλη [illegible]. καὶ οἱ μὲν ἐς φιληδονίην, καὶ ἡδυπαθείην, καὶ ἀκρασίην. οἱ δὲ εἰς ἀργίην καὶ ῥαθυμίην. τὰς ἀναξίους οὖν καὶ δυστήνους ψυχὰς ὁρῶντες καὶ τοσαύτας, πῶς μὴ χλευάσωμεν τὸν τοιουτέων ἀκρασίην ἔχοντα βίον αὐτέων; [illegible] μηδὲ τὴν σὴν ἰητρικὴν ἀνθρώποι αὐτοῖσιν [illegible] ἀκρασίης ἅπασι, καὶ μανίην τὴν σοφίην νομίζουσιν. [illegible] ὡς σοφὸς λαμβάνεται [illegible] τὰ πολλὰ τῆς ἐπιστήμης, ἢ διὰ φθόνον, ἢ δι' ἀχαριστίην. οἱ τε γὰρ νοσέοντες ἅμα τῷ σωζέσθαι, τὴν αἰτίην θεοῖς ἢ τύχῃ [illegible] πολλοὶ δὲ τῇ ἰδίᾳ φύσει [illegible], [illegible] τὸν εὐεργετήσαντα, μικροῦ δεῖν [illegible] νομίζοντες [illegible] πολλοὶ δὲ τὰ ἀτεχνίης ἐφ' ἑωυτοῖς ἔχοντες. ἀνδρίες ἐόντες, [illegible] τὸ κρέσσον. ἐν ἀμαθέσι γὰρ εἰσὶν αἱ ψῆφοι, οὔτε οἱ [illegible] σωφρονέειν [illegible], οὔτε οἱ ὁμότεχνοι [illegible] μαρτυρέειν. φθόνος γὰρ [illegible]. [illegible] τῶν τοιουτέων λεχθέντων. [illegible] πολλάκις [illegible] καὶ οὐδὲ [illegible] φιλοτεχνίη [illegible] ἀτεχνίης γὰρ [illegible] οὔτε [illegible] οὔτε μαρτυρίη. ἐπιμειδιῶν δὲ λέγων ταῦτα, καί μοι Δαμάγητε, θεοειδής τις κατεφαίνετο, καὶ τὴν προτέρην αὐτοῦ μορφὴν ἐκλελησμένος. καὶ φημί ὦ Δημόκριτε μεγαλοδοξε, μεγάλας γε τὰς σὰς ξενίων δωρεὰς ἐς Κῶ ἀπονόσομαι. πολλοῦ γάρ με τῆς σοφίης θαυμασμοῦ πεπλήρωκας. ἀπονοστέω γάρ σου κῆρυξ, ἀνθρωπίνης φύσιος [illegible] καὶ νοήσαντος. θεραπείην δὲ λαβὼν τὴν ἐμῆς διανοίης, [illegible] ἀπαλλάσσομαι τῆς ὥρης τὸ ἀπαιτεούσης, καὶ τῆς τοῦ σώματος ἐπιμελείης. αὔριον δὲ καὶ τὸ ἑξῆς, ἐν τούτοις γενησόμεθα. ἀνίσταμαι ταῦτ' εἰπών. κἀκεῖνος ἕτοιμος ἀκολουθέειν. [illegible] δέ [illegible] ἀπεδίδου τὰ βιβλία. κἀγὼ [illegible] πρὸς τοὺς Ἀβδηρίτας ἐπὶ τῇ σκοπῇ ἀναμένοντάς με, ἄνδρες ἔφην, τῆς πρὸς ἐμὲ πρεσβείης, χάρις ὑμῖν πολλή. Δημόκριτον γὰρ εἶδον, ἄνδρα σοφώτατον, ὃς μοῦνος [illegible] ἀνθρώπους [illegible] δυνατώτατος. ταῦτ' ἔχω σοι περὶ Δημοκρίτου Δαμάγητι φράζειν, γηθοσύνως πάνυ. ἔρρωσο.

Δημόκριτος Ἱπποκράτει εὖ πράττειν.

Ἐπῆλθες ἡμῖν ὡς μεμηνόσιν ὦ Ἱππόκρατες, ἐλλέβορον δώσων, [illegible] ἀνοήτοις ἀνδράσι, παρ' οἷς ὁ πόνος τῆς ἀρετῆς μανίη κρίνεται. ἐτυγχάνομεν δὲ τότε, περὶ κόσμου διαθέσιος, καὶ πολογραφίης. ἔτι δὲ ἀστρων οὐρανίων ξυγγράφοντες, γνούσας δὲ τὴν [illegible] φύσιν, ὡς [illegible] ἐπιδεδημιούργηται, καὶ ὡς τηλοῦ μανίης καὶ παραφροσύνης κάθηνται, ἐμοῖο μὲν φύσιν ἐπῄνεσας.

ſperatas poſſeſſiones captantes; alij quidem impudentes, alij parci, alij inexplebiles, alij quidem interficientes, alij verberibus afflicti, alij ſuperbè ſe iactantes, alij inani gloria attoniti. Et hi quidem equis addicti ſunt, alij hominibus, alij nauibus, alij lapidibus, aut lignis, alij ſtatuis ex ære, alij picturis. Et alij quidem legationibus, alij rei militaris adminiſtrationibus, alij rebus ſacris. Alij coronas geſtant, alij armati ſunt, alij interficiuntur. Et horum ſinguli partim quidem in pugna nauali verſantur, partim in militari officio, partim verò in agricultura. Alij verò in nauibus onerariis, alij in foro, alij in concionibus, alij in theatro, alij in fuga, alij verò aliis quibuſdam rebus. Et alij quidē ad voluptatis ſtudium, mollitiem & intemperantiam feruntur, alij ad otium ac deſidiam. Cùm igitur tot indignas & miſeras animas videamus, quomodo eorum vitam eiuſmodi intemperantiæ deditam ludibrio non habeamus? Valde quoque metuo ne artem tuam Medicam ipſi non probent. Propter intemperantiam enim implacidè ſe habent ad omnia, & ſapientiam inſaniam exiſtimant. Et certè ſuſpicor plæraque in arte tua, aut per inuidiam, aut per ingratitudinem, palàm contumelia affici. Ægrotantes enim ſimul ac ſeruati ſunt, cauſam Diis vel fortunæ attribuunt. Plærique verò hoc ſuæ naturæ aſſignantes, bene merentem odio proſequuntur, parumque abeſt quin indignentur, ſi eis operam debeant. Multi etiam artis imperitiam præferentes, cùm ſint ignorantes, quod melius eſt damnant. Calculorum enim ſuffragia ſtupidis attribuuntur; neque ægrotantes ſimul approbare volunt, neque eiuſdem artis ſocij teſtimonio confirmare, cùm inuidia obſtet. Neque tu huiuſmodi contumelias non expertus es, cùm probè ſciam hęc quę in memorabilibus affectionibus fiunt, te per cauſam aut inuidiam nunquam lubenter conuitiis inſectatum. Veritatis enim nulla eſt cognitio, neq; teſtimonij confirmatio. Quæ cùm diceret ſubridebat, mihiq; Damagete diuina quadam ſpecie, prioremq; formam oblitus eſſe videbatur. Tum ego, Democrite præſtantiſſime, magna hoſpitalitatis tuæ munera mecum in Co reportabo, cùm multa me ſapientiæ tuæ admonitione compleueris. Præco enim tuarum laudum reuertor, quod naturæ humanæ veritatem inueſtigaſti & mente complexus es. Accepta autem à te mentis curatione diſcedo, cùm id tempus poſtulet, vt corpori conſulatur. Cras verò ac deinceps, ad eundem locum reuertemur. Quæ cùm dixiſſem ſurrexi, ille verò me comitari paratus erat. Cumque quidam, haud ſcio vnde, accederet, libros tradidit. Et ego ad Abderitas qui me ſpeculantes expectabant concitatiore greſſu redij. Viri, inquam, Abderitæ, pro veſtra ad me legatione magnas habeo gratias. Democritum enim virum ſapientiſſimum vidi, qui ſolus homines ad ſanam mentem reducere poteſt. Hæc habui Damagete quæ de Democrito tibi læto admodum animo narrarem. Vale.

Democritus Hippocrati S.

AD nos veniſti Hippocrates, vt tanquam inſanis veratrum exhiberes à ſtultis hominibus perſuaſus, quibus virtutis labor inſania reputatur. Tum autem fortè de orbis ornatu, polorū, ac inſuper de aſtrorum cœleſtiū deſcriptione ſcribebamus. Cùm autem horum naturam cognouiſſes, quàm valde aptè eſſent fabricata, & quàm procul ab inſania ac dementia eſſent poſita, naturam quidem meā laudaſti, illos verò

amentes, immites, & inſanos iudicaſti. Quæ enim permutata per inane feruntur, & ſimulachris nos decipiunt, quæ ſanè mundus eſſe conſpiciuntur, & viciſſitudine quadam ſibi ſuccedentia fabricata ſunt, ea mens noſtra dum naturæ veritatem indagatur, in lucem produxit. Harum rerum teſtes ſunt libri à me conſcripti. Minimè igitur Hippocrates cum huiuſmodi viris, quorum mens in ſummo fluctuat & inconſtans eſt, te cõgredi aut conſeruari oportet. Nam ſi ab his perſuaſus, mihi tanquam inſano veratrũ propinaſſes, prudentia in inſaniam euaſiſſet, artemque tuam velut dementiæ cauſam increpauiſſent. Veratrum enim ſanis exhibitum menti tenebras offundit, inſanis verò multum prodeſſe conſueuit. Exiſtimo enim quòd ſi non me ſcribentem, ſed recumbentem, aut fortè deambulantem offendiſſes & mecum cogitantem, modò quidem ea quæ animo agitarem implacidè ferentem, modò etiam ridentem, & me conuenientibus familiaribus mentem non adhibentem, ſed ſtupendum in modum mente & contemplatione in rem aliquam incumbentem, ex his ſanè quæ vidiſſes, Democritum inſaniæ imaginem præ ſe ferre oculis tuis iudicaſſes. Medicum igitur non ſolùm ex aſpectu, ſed ex re ipſa affectus iudicare decet, & modulos vt plurimùm, & num morbus incipiat, aut in medio ſit, aut in fine, diſcernere, & conſiderata temporis & ætatis differentia, ac vniuerſa totius corporis natura, affectus curare. Ex his enim omnibus facilè morbum deprehendas. Tuum autem de inſania ſcriptum ad te remiſi. Vale.

De inſania tractatio.

INſanienti ob humiditatem cerebri, in quo animi ſunt officia, cùm humidius quam pro natura fuerit, moueri neceſſe eſt, velut dixi in libello de Morbo Sacro. Quod cum mouetur, neque viſionem, neque auditionem quieſcere, verùm aliàs varia tum videre, tum audire, linguamque ea quæ ſigillatim viderit & audierit diſſerere. Eo autem tempore homo ſapit, quo cerebrum quieſcit. Cerebri verò corruptio ex pituita & bile oritur. Vtrunque hoc modo dignoſces. Qui enim ex pituita inſaniunt, quieti ſunt, neque clamoſi, neque tumultuantes. Qui verò ex bile, hi verberant, malefici ſunt, neque quieſcunt. Et ſi quidem continenter inſaniant, eæ cauſæ ſunt. Terrores verò & metus ex tranſmutatione fiunt, calefacto cerebro à bile, in ipſum per venas ſanguine plenas irruente. Vbi verò bilis rurſus in venas & corpus diſceſſit, quieſcit. Triſtatur verò & æſtuat, & plus quàm commodum ſit obliuiſcitur, dum cerebrum à pituita refrigeratur, & præter naturam concreſcit. Cùm verò de repente cerebrum à bile calefactum fuerit, ſanguine in commemoratis venis ebulliente, horrenda vident inſomnia, ac velut euigilato facies incenditur, oculi rubent, mentque aliquid mali agitat. Idq́ue etiam in ſomno contingit. Vbi verò ſanguis rurſus in venas ſparſus fuerit, quieſcit. Libro quinto de Morbis vulgaribus quendam recenſui in quo vocis defectio cõtingebat, ignoratio, crebra delitia, & morbi reuerſiones. Lingua dura erat, ac niſi collueret, loqui non poterat, & plærunque valde amara. Venæ ſectio ſolutionem attulit, aquæ potio, aqua mulſa, & veratri potiones. Hic cum nõ diu ſuperuixiſſet, mortuus eſt.

ἄφρονας δὲ καὶ ἀπηνέας καὶ μεμηνότας κείνους ἔκρινας. ὁκόσα γὰρ ἰνδάλμοις διαλλάττοντα ἀνὰ τὸ κενὸν πλάζει ἡμέας, ἃ δὴ κόσμος ξυνωρᾶται, [100] καὶ ἀμείβοντα τεύχει, ταῦτα νόος ἐμὸς φύσιν ἐρευνήσας ἀτρεκέως, εἰς φῶς ἤγαγεν. μάρτυρες δὲ τουτέων, βίβλοι ὑπ' ἐμέο γραφεῖσαι. χρὴ οὖν καὶ σὲ ὦ Ἱππόκρατες, [101] μὴ τοιούτοισιν ἀνδράσιν ξυνέρχεσθαι, καὶ ξυνομιλέειν, [102] ὧν νόος ἀκρόπλοος, καὶ ἀβέβαιος καθέστηκεν. εἰ γάρ τοι πεισθεὶς ὡς μεμηνότα με ἐπότισας ἐλλεβόρῳ, ἡ [103] πινυτὴ μανίη ἂν ἐγεγόνει. καὶ σὺ τέχνην κατεμέμψατο, ὥσπερ αἰτίην παρακοπῆς γεγενημένην. ἐλλέβορος γὰρ ὑγιαίνουσι μὲν δοθεὶς, ἐπισκοτεῖ διάνοιαν. μεμηνόσι δὲ κάρτα ὠφελέειν εἴωθεν. ἔνθεν γὰρ εἰ μὴ κατειλήφεις με γράφοντα, ἀνακείμενον δὲ, ἢ βαδίζοντα περιπατέοντα, καὶ προσομιλέοντα ἐμαυτῷ, ὅτε μὲν δυσχεραίνοντα, ὅτε δὲ μειδιῶντα ἐπὶ τοῖς ἐννοουμένοις ὑπ' ἐμέο. καὶ τοῖς προσομιλέουσι τῶν γνωρίμων, [104] οὐ προσέχοντα. ἐφιστάντα δὲ τὴν διάνοιαν καὶ σκεπτόμενον ἐκπάγλως, ἔνθεν ἂν Δημόκριτον κατά γε ὄψιος κρίσιν ἐκ τῶν ὁρεομένων, μανίης εἰκὼ ἐσχηκέναι. χρὴ οὖν τὸν ἰητρὸν μὴ μόνον ὄψει τὰ πάθη κρίνειν, ἀλλὰ καὶ πρήγμασι [105]. τούς τε ῥυθμοὺς ἀνακρίνειν ὡς ἐπὶ τὸ πλεῖστον, καὶ πότερον ἄρχοιτο τὸ πάθος, ἢ μεσάζοι ἢ λήγοι, καὶ διαφορὴν, καὶ ὥρην, καὶ ἡλικίην, προδιατεκμαιρόμενον ἰητρεύειν τὸ πάθος. ὅλον μελετέων τε τὸ σκῆνος. ἐκ γὰρ τουτέων ἁπάντων, εὐχερῶς τὴν νοῦσον εὑρήσεις. ἀπέσταλκα δέ σοι τὸν περὶ μανίης λόγον. ἔρρωσο.

Ὁ περὶ μανίης λόγος.

ΜΑινομένοισι [106] δὲ ὡς ἔφην, ἐν τῷ περὶ ἱερῆς νούσου, ὑπὸ ὑγρότητος τοῦ ἐγκεφάλου, ἐν ᾧ ἐστὶ τὰ τῆς ψυχῆς ἔργα. ὅταν ὑγρότερος τῆς φύσιος ᾖ, ἀνάγκη κινέεσθαι. κινουμένου δὲ μήτε τὴν ὄψιν ἀτρεμίζειν, μήτε τὴν ἀκοήν. [107] ἀλλὰ ἄλλοτε ἄλλα ὁρᾶν τε καὶ ἀκούειν. τήν τε γλῶσσαν τοιαῦτα διαλέγεσθαι, οἷα ἂν βλέπῃ τε καὶ ἀκούῃ ἑκάστοτε. ὅσον δὲ ἂν ἀτρεμίσῃ ὁ ἐγκέφαλος, τοσοῦτον καὶ φρονεῖ χρόνον ὁ ἄνθρωπος. γίνεται δὲ ἡ διαφθορὴ τοῦ ἐγκεφάλου, ὑπὸ φλέγματος, καὶ χολῆς. γνώσῃ δὲ ἑκάτερα ὧδε. οἱ μὲν γὰρ ὑπὸ φλέγματος μαινόμενοι, ἥσυχοί τε εἰσὶ, καὶ οὐ βοηταὶ, οὐδὲ θορυβώδεες. οἱ δὲ ὑπὸ χολῆς, [108] πλῆκται, καὶ κακοεργοὶ, καὶ οὐκ ἠρεμαῖοι. ἢν μὲν ξυνεχέως μαίνωνται, αὗται αἱ προφάσιές εἰσιν. ἢν δὲ δείματα καὶ φόβοι, ὑπὸ μεταστάσιος γίνεται τοῦ ἐγκεφάλου θερμαινομένου ὑπὸ χολῆς ὁρμησάσης ἐπ' αὐτὸν κατὰ τὰς φλέβας, τὰς αἱματίτιδας. ὅταν δὲ ἀπέλθῃ ἡ χολὴ πάλιν ἐς τὰς φλέβας, καὶ τὸ σῶμα πέπαυται. ἀνιῆται δὲ καὶ ἄσηται, καὶ ἐπιλήθεται) παρὰ τὸ καιρόν, ψυχομένου τοῦ ἐγκεφάλου ὑπὸ φλέγματος, καὶ ξυνισταμένου παρὰ τὸ ἔθος. ὅταν δὲ ἐξαπίνης ὁ ἐγκέφαλος διαθερμαίνηται) ὑπὸ χολῆς κατὰ τὰς φλέβας τὰς εἰρημένας ἐπιζέσαντος τοῦ αἵματος ἐνύπνια ὁρῶσι φοβερά. καὶ ὡς ἐγρηγορέοντος τὸ πρόσωπον φλογιᾷ. καὶ οἱ ὀφθαλμοὶ ἐρυθραίνονται. καὶ ἡ γνώμη ἐπινοέει κακόν τι ἐργάζεσθαι. τοῦτο καὶ ἐν τῷ ὕπνῳ πάσχει. ὅταν δὲ καὶ αἷμα σκεδασθῇ πάλιν ἐς τὰς φλέβας, πέπαυται. [109] ἐν δὲ τῷ πέμπτῳ τῶν ἐπιδημιῶν ἱστόρησα, ὡς ἐγένετο ἀφωνίη. ἄγνοια. παραληρήσιες πυκναὶ καὶ ὑποστροφαί. ἡ δὲ γλῶσσα σκληρή. καὶ εἰ μὴ διακλύσαιτο, λαλέειν οὐχ οἷός τε ἦν, [110] καὶ σφόδρα πικρὴ τὰ πολλά. φλεβοτομίη ἔλυσε, ὑδροποσίη, μελίκρητον. ἐλλεβόρου πόσιες. οὗτος ὀλίγον ἐπιζήσας χρόνον, ἐτελεύτησεν. [111]

ἄλλος

ἄλλος ἕωσος ὅτε εἰς πότον ὁρμῴη φόβος τῆς αὐλητρίδος ἐλάμβανεν, εἰ ἀκούσειεν αὐλεύσης. ἡμέρης δὲ ἀκούων οὐδὲν ἔπασχε.

Erat & alius, quem, cùm ad conuiuium procederet, ſi tibicinam tibia canentem audiret, timor inuadebat, interdiu verò ſi audiret, nihil patiebatur.

Ἱπποκράτης Δημοκρίτῳ εὖ πράττειν.

Ἰητρικῆς τέχνης ὦ Δημόκριτε, κατορθώματα μὲν οἱ πολλοὶ τῶν ἀνθρώπων, οὐ πάμπαν πᾶσιν ἐπαινέουσι. θεοῖς δὲ πολλάκις, προσάπτουσι. ἢν δὲ ἡ φύσις ἀντιπρήξασα ἀπολέσῃ τὸν θεραπευόμενον, ἰητροὺς καταμέμφονται, παρέντες τὸ θεῖον. καὶ ἔγωγε δοκέω πλείονα μωμοσκοπίην, ἢ τιμὴν κεκληρῶσθαι τῆς τέχνης. ἐγὼ μὲν γὰρ ἰητρικῆς ἐς τέλος οὐκ ἀφῖγμαι, καίπερ ἤδη γηραλέος καθεστώς. οὐδὲ γὰρ ὁ ταύτης εὑρετὴς Ἀσκληπιός. ἀλλὰ καὶ αὐτὸς ἐν πολλοῖς διεφώνησε. καθάπερ ἡμῖν αἱ τῶν ξυγγραφέων βίβλοι παραδεδώκασιν. ἡ μὲν οὖν ὑπὸ σοῦ ἐπισταλεῖσα ἡμῖν ἐπιστολή, κατεμέμφετο περὶ τῆς φαρμακείης τοῦ ἐλλεβόρου. εἰσηγήθην μὲν οὖν ἐς Δημόκριτον ὡς μεμηνότα ἐλλεβορίσων. οὐ καταμαντευσάμενος ὅστις ποτ' εἴης. ὡς δὲ ἐντυχὼν ἔγνων, οὐ μὰ Δία παραφροσύνης ἔργον, ἀλλὰ σχεδὸν ἀποδοχῆς πάσης, χάριτι σὴν φύσιν ἐπῄνεσα. ἄριστόν τε φύσεως ἑρμηνευτὴν, καὶ κόσμου ἔκρινα. τοὺς δὲ εἰσαγαγόντας με, ἐμεμψάμην ὡς μεμηνότας. φαρμακείης γὰρ αὐτοὶ ἔχρῃζον. ἐπεὶ τοίνυν ὁ αὐτόματος [112] εἰς τὸ αὐτὸ συνήγαγεν, ὀρθῶς ποιήσεις ἐπιστέλλων ἡμῖν πυκνότερον, καὶ μεταδιδοὺς τῶν ὑπὸ σοῦ συγγραφομένων ξυνταγμάτων. ἀπέσταλκα δέ σοι καὶ αὐτὸς τὸν περὶ τοῦ ἐλλεβορισμοῦ λόγον. ἔρρωσο.

Hippocrates Democrito S.

IN arte Medica quæ rectè fiunt, plerunque quidem hominum vulgus non admodum laudat; ſæpè verò Diis attribuit. At ſi in aliquo repugnans natura eum qui curatur interemerit, numen prætermittens, Medicos incuſat. Et ego ſanè plus reprehenſionis quàm honoris ex arte mihi conſecutus videor. Neque enim quantumuis iam ſenex, ad artis Medicæ ſummam perueni, neque etiam ipſius inuentor Æſculapius, ſed & ipſe à ſeſe in multis diſſenſit, velut eorum qui ſcripſerunt libri nobis tradiderunt. Tua ſanè quidem ad nos miſſa epiſtola, per veratrum medicationem reprehendebat. Accitus igitur ſum Democrite, velut inſanientem veratro purgaturus, cùm coniicere non poſſem, qualis tandem eſſes. Poſtquam verò tecum verſatus, non per Iouem deſipientiæ opus, ſed omni prope fauore proſequendum cognoui, magnopere ingenium tuum laudaui, teque præſtantiſſimum naturæ & mundi interpretem iudicaui, eos verò qui me acciuerunt tanquam inſanos accuſaui, cùm ipſi medicatione indigerent. Quandoquidem igitur caſu contigit vt nos vna conueniremus, rectè feceris ſi ad nos crebriores literas dederis, & à te conſcripta commentaria ad nos tranſmiſeris. Miſi autem etiam ad te de veratri vſu libellum. Vale.

Ἱπποκράτης Δημοκρίτῳ περὶ ἐλλεβορισμοῦ.

Τοῖς [113] μὴ ῥηϊδίως ἄνω καθαιρομένοις πρὸ τῆς πόσιος προϋγραίνειν τὰ σώματα, πλείονι τροφῇ καὶ ἀναπαύσει. ἐπὴν δὲ πίῃ ἐλλέβορον πρὸς τὰς κινήσιας τῶν σωμάτων μᾶλλον ἄγειν, μὴ πρὸς ὕπνους. δηλοῖ δὲ ἡ ναυτιλίη, ὅτι κίνησις τὰ σώματα ταράσσει. ἐπὴν βούλῃ μᾶλλον ἄγειν ἐλλέβορον, κίνει τὰ σώματα. ἐλλέβορος ἐπικίνδυνος τοῖς τὰς σάρκας ὑγιέας ἔχουσι. [114] ὅσοι ἐν τῇσι φαρμακοποσίῃσι μὴ διψῶσι, καθαιρόμενοι οὐ παύονται, πρὶν ἢ διψήσωσι. [115] σπασμὸς ἐξ ἐλλεβόρου, θανάσιμον. ἐπὶ ὑπερκαθάρσει σπασμὸς ἢ λυγμὸς ἐπιγινόμενος κακόν. [116] ἐν τῇσι ταραχῇσι τῆς κοιλίης, καὶ τοῖσιν ἐμέτοις τοῖς αὐτομάτοις γινομένοισιν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι, καθαίρωνται, ξυμφέρει τε, καὶ εὐφόρως φέρουσιν. εἰ δὲ μή, τοὐναντίον. ὡς δὲ ἔφην ἐν τοῖς προγνωστικοῖς, [117] κάθαρσις ἁρμόζει ἡ ἄνω ἐφ' ἀπυρέτῳ ἀσιτίη ἢ καρδιωγμός, ἢ σκοτόδινος, ἢ στόμα ἐπίπικρον, καθόλου τὰ ὑπὲρ τῶν φρενῶν ὀδύναις. [118] ἡ δὲ κάτω, ὅπου χωρὶς πυρετοῦ στρόφος, ὀσφύος ὀδύνη. γουνάτων βάρος. καταμήνια δυσπορεύοντα. ὀδύναι ἐν τοῖς ὑπὸ τὸ διάφραγμα. φυλάσσεσθαι δὲ ἐν τῇσι φαρμακοποσίῃσι [119] τοὺς ἀστείους τὰ σώματα. μάλιστα δὲ τοὺς μέλανας, καὶ ὑγροσάρκους. καὶ τοὺς ὑποξήρους δέ, καὶ ψελλούς, καὶ τραυλούς. [120] ὁκόσοι δὲ τὰ φλεγμαίνοντα ἐν ἀρχῇ τῆς νούσου, ὡς ἔφην, ἐν τῷ περὶ πτισάνης εὐθέως ἐπιχειρέουσιν λύειν φαρμακείῃ, τοῦ μὲν ξυντεταμένου, καὶ φλεγμαίνοντος [121] οὐδὲν ὠφελέουσιν. οὐδὲ γὰρ διαδίδωσιν ὠμὸν ἐὸν τὸ πάθος. τὰ δὲ ἀντέχοντα τῷ νοσήματι καὶ ὑγιέα ξυντήκουσι. ἀσθενέος δὲ τοῦ σώματος γινομένου, τὸ νόσημα ἐπικρατεῖ, καὶ ἀνιήτως ἔχουσι. [122] ἐλλεβορίζειν δεῖ χρὴ οἷς ἀπὸ κεφαλῆς φέρεται ῥεῦμα. μὴ διδόναι δὲ ἐπὶ ἐμπύοισι

Hippocrates de Veratri Purgatione.

QVi non facilè per ſuperiora purgantur, iis corpora copioſiore cibo & quiete ante potionem humectanda ſunt. Poſt veratri potionem, corpora magis ad motionem quàm ad ſomnos adducenda. Quod verò motio corpora turbet, id indicat nauigatio. Cum voles vt veratrum magis ducat, corpora moueto. veratrum carnes ſanas habentibus periculum creat. Qui in medicamentorum potionibus non ſitiunt, purgari non deſinunt, priùs quàm ſitiant. Ex veratro orta conuulſio lethalis. Immodicæ purgationi ſuccedens conuulſio aut ſingultus, malo eſt. In alui perturbationibus & vomitionibus ſponte obortis, ſi qualia purgari conuenit, purgentur, tum conducit, tum facilè ferunt, alioqui contra accidit. At velut in Prænotionibus dictum eſt, per ſuperiora purgatio accommoda eſt, ei qui ſine febre cibi faſtidio, aut ventriculi morſu, aut tenebricoſa vertigine torquetur, aut cui os amarum eſt, & in ſumma omnibus ſupra ſeptum tranſuerſum doloribus. Per inferiora verò, vbi citra febrem tormina detinent, lumborum dolor, genuum grauitas, menſes ægrè prodeunt, & dolores ſunt in partibus ſepto tranſuerſo inferioribus. In medicamentorum autem potionibus, vitandi ſunt qui corpore probè valent, præcipuè verò nigri & humida carne præditi, ſubſicci, balbi & blæſi. At qui per morbi initia inflammationes confeſtim per medicamenti potionem ſoluere nituntur, ij de diſtento quidem ac inflammato nihil auferunt; velut à me dictum eſt in libro de Ptiſana. Crudus enim affectus nihil cedit, quæ verò morbo reſiſtunt & ſana ſunt, tabefaciunt, imbecillo autem reddito corpore morbus ſuperior euadit, & curari nequeunt. Veratrum autem exhibendum quibus de capite fluxio fertur, at ſuppuratis minimè dandum.

Medicamento minimè purgandi decolores, raucedinoſi, lienoſi, ſanguine defecti, ſuſpirioſi, & ſicca tuſſi vexati, ſiticuloſi, flatulenti, quiq; præcordia diſtenta habent, & latera, & dorſum, qui ſtupore affecti hebetius cernunt, quibus aures ſonant, quiq; vrinam minimè continent, neq; qui morbo regio laborant, & aluo ſunt debili, quibus ſanguis erumpit, aut qui tubercula habent. Quòd ſi medicamento purgandum videatur, veratro per ſuperiora ſecurè purgato, at per inferiora minimè. His autem præſtat victus rationem præſcribere. Neq; verò, quemadmodum in Prædictis dixi, medicamento purgandi ſunt, qui nigra vomitione refundunt, cibos auerſantur, delirant, quiq; dolore vexati parum dormiunt, qui aſpectum ferocem obliquè deflexum habent, ſubtumidi ſunt, tenebricoſa vertigine vexantur, decolores, neque qui in febre æſtuant & confracti ſunt. Seſamoides verò (velut dixi libro de Ptiſana) per ſuperiora purgat, potum ad drachmam dimidiam, & in aceto mulſo tritum. Admiſcetur etiam veratris tertia potionis parte, & minùs ſtrangulat. Diuturnas etiam quartanas purgat, & longa febre lipyria laborantes, & eos quibus neque ſitis neque excretio adeſt, neque tamen ante tres hebdomadas. Interdum etiam morbo laterali & voluulo laborantes. Quinetiam purgandum eſt, ſi vteri purgatione opus habeant, velut dixi libro de Morbis mulierum.

Hippocrates ad Theſſalum filium.

GEometriæ & Arithmetices cognitioni ſtudium adhibeto mi fili. Neque enim ſolum vitam tuã glorioſam & ad multa in rebus humanis vtilem, verùmetiam mentem acutiorem & longè ſplendidiorem ad fructum eorum omnium, quæ in arte Medica vſui ſunt, conſequendum reddet. Quanquam quidem Geometriæ cognitio, cùm multas & varias formas habeat, & omnia cum demonſtratione ad exitum perducat, tum ad oſſium poſitus, & articulos ſuis ſedibus emotos, tum etiam ad reliquam membrorum compoſitionem vtilis futura eſt. Nam ad horum affectuum variam cognitionem faciliùs perueniet, tum etiam articulorum repoſitione, tum oſſium contritorum reſectione, & perforatione, & coaptatione, & ſubſtractione, reliquaq; curatione ductus, qui locum & os quale ſit ex eo emotum cognouerit. Numerorum verò ſeries, tum ad ambitus, tum ad eas mutationes quæ præter rationem in febribus fiunt, & ad iudicandos ægros, & ad morborum ſecuritatem ſatis futura eſt. Præclarum enim eſt, id tibi in re Medica ſubminiſtrari, quod intenſionis ac remiſſionis partiũ, quæ ex parte inæquales ſunt, facilem tibi abſque errore notitiam præbeat. Quapropter ad huius experientiæ facultatem valde contendito. Vale.

Democritus Hippocrati, De Natura humana.

OMnes artem Medicam noſſe conuenit, ô Hippocrates, cùm præclara ſimul res ſit & ad vitam cõducibilis, tum verò vel maximè eruditionis & eloquentiæ peritis. Sapientiæ enim cognitionem Medicinæ ſororem & familiarem eſſe duco. Sapientia ſiquidem animi perturbationes exhaurit. At Medicina corporum morbos pellit. Mens autem increſcit cùm adeſt ſanitas, cuius curam habere eos qui rectè ſentiũt præclarũ eſt. Vbi verò corporis habitus dolet,

[113] μὴ φαρμακεύειν τοὺς ἀχρόους. τοὺς βραγχώδεας. τοὺς σπληνώδεας. τοὺς ἀφαίμους. τοὺς πνευματώδεας, καὶ ξηρὰ βήσσοντας. διψώδεας. φυσώδεας. ἐν τοῖσι ὑποχονδρίοισι, καὶ πλευρὰς, καὶ μετάφρενα, τοὺς ἀπονεναρκωμένους, καὶ ἀμαυρὰ βλέποντας, καὶ οἷς ἦχοι τὰ ὦτα, [114] καὶ τοὺς οὔρησιν ἀκρατεῖς. μηδὲ τοὺς ἰκτερώδεας, [115] ἢ κοιλίης ἀσθενέας. [116] ἢ αἱμορρώδεας. [117] ἢ ἐν φύμασιν. ἢν δὲ φαρμακεύειν δοκῇ, ἐλλεβόρῳ ἀσφαλῶς ἄνω καθαίρειν. κάτω δὲ μὴ. κρεῖσσον δὲ τούτοις [118] διαιτᾶν. [119] ὡς δὲ ἔφην ἐν τῷ προρρητικῷ, μὴ φαρμακεύειν μηδὲ τοὺς ἐπανεμοῦντας μέλανα, ἀποσίτους, καὶ παραφόρους, [120] καθεύδειν μικρὰ ὀδυνώδεας. [121] ὄμμα θρασὺ κεκλιμένον ἔχοντας. ὑποιδέοντας. σκοτώδεας. ἀχρόους, [122] μηδὲ τοὺς ἐν πυρετῷ καυματώδεας, κατακεκλασμένους. [123] ὡς δὲ ἔφην περὶ πτισάνης σησαμοειδὲς ἄνω καθαίρει. ἡ πόσις ἡμίσου δραχμῆς ἐν ὀξυμέλιτι τετριμμένον. ξυμμίσγεται δὲ καὶ τοῖς ἐλλεβόροις τὸ τρίτον μέρος τῆς πόσιος, καὶ ἧσσον πνίγει. καθαίρει δὲ καὶ τοὺς ἐν χρονίοις τεταρταίοις, καὶ τοὺς ἐν λιπυριώδει πυρετῷ χρονίους. καὶ ὧν οὐκ ἔστι δίψος, μηδὲ ἀπόκρισις. τούτους δὲ μὴ πρότερον τῶν τριῶν ἑβδομάδων. ποτὲ δὲ καὶ πλευριτικούς, καὶ εἰλεώδεις. ὡς δὲ ἔφην ἐν τῷ περὶ γυναικείων, καθαίρειν καὶ ἢν αἱ μῆτραι καθάρσεως δέωνται.

Ἱπποκράτης πρὸς τὸν υἱὸν Θεσσαλόν.

ΙΣτορίης δὲ μελέτω σοι ὦ παῖ, γεωμετρικῆς. καὶ ἀριθμήσιος. οὐ γὰρ μόνον σέο καὶ τὸν βίον εὐκλέα καὶ ἐπὶ πολλὰ χρήσιμον ἐς ἀνθρωπίνην μοίρην ἐπιτελέσει. ἀλλὰ καὶ τὴν ψυχὴν ὀξυτέρην τε καὶ τηλαυγεστέρην κατὰ τὸ ἐν ἰητρικῇ ὀνήσασθαι πάντα ὅσα, χρήζει. καὶ τοι ἡ μὲν τῆς γεωμετρίης ἱστορίη ἐοῦσα πολύσχημός τε, καὶ πολυειδής. καὶ πάντα μετ' ἀποδείξεως περαινομένη ἔσται χρησίμη πρός τε τὰς τῶν ὀστέων θέσεις καὶ ἐξαρθρήσεις. καὶ τὴν λοιπὴν τῶν μελέων τάξιν. εἰς τὴν γὰρ τούτων πολυτροπίην εὐεπιγνωστοτέρη ἐμβολῇ τε ἄρθρων, [124] καὶ τῇ τῶν ὀστέων τῶν συντεθλασμένων ἀνατρίψει τε, καὶ ἐκτρυπήσει, καὶ συνθέσει. καὶ ἐξαιρέσει. καὶ τῇ λοιπῇ θεραπείῃ χρῆσθαι, εἰδότι ὁκοῖόν τι χωρίον ἐστὶ καὶ τὸ ἐκ τούτου ἐξορθούμενον ὀστέον. ἡ δὲ τῆς ἀριθμήσιος τάξις πρός τε τὰς περιόδους, καὶ ἀλλαγὰς τῶν πυρετῶν μεταστάσιας, καὶ τὰς κρίσιας τῶν νοσεόντων. καὶ τὸ ἐν νούσοις ἀσφαλείης [125] ἀρκέουσα ἔσται, μάλα γὰρ σεμνὸν ὑπηρεσίαν ἔχειν ἐν ἰητρικῇ τοιήνδε ἥτις σοι τὰ μέρεα τῆς ἐπιτάσιος καὶ τῆς ἀνέσιος ὁπόταν ἄνισα ὄντα τὴν μοίρην εὔγνωστα παρέχηται, χωρὶς ἀμπλακίης δὴ δὴ κάρτα ἐς δύναμιν ἀφίκεο τῆς τοιῆσδε ἐμπειρίης. ἔρρωσο.

Δημόκριτος Ἱπποκράτει περὶ φύσιος ἀνθρώπου.

ΧΡὴ [126] πάντας ἀνθρώπους ἰητρικὴν τέχνην ἐπίστασθαι ὦ Ἱππόκρατες. καλὸν γὰρ ἅμα καὶ ξυμφέρον ἐς τὸν βίον. τουτέων δὲ μάλιστα, τοὺς παιδείας καὶ λόγων ἴδριας γεγενημένους. ἱστορέω σοφίης γὰρ δοκέω ἰητρικῆς ἀδελφεὴν καὶ ξύνοικον. σοφίη μὲν γὰρ ψυχὴν ἀναρύεται παθῶν. ἰητρικὴ δὲ, νόσους σωμάτων ἀφαιρέεται. αὔξεται δὲ νόος, παρεούσης ὑγείης. ἣν καλὸν προνοέειν τοὺς ἐσθλὰ φρονέοντας. ἕξεως δὲ σωματικῆς ἀλγεούσης.

οὐδὲ

οὐδὲ προθυμίην ἀλλ' ὁ νόος, ἐς μελέτην ἀρετῆς. νοῦσος γὰρ παρεοῦσα, δεινῶς ψυχὴν ἀμαυροῖ, φρόνησιν ἐς συμπάθειαν ἄγουσα. φύσιος δὲ ἀνθρωπίνης ὑπογραφὴ, θεωρίην ἔχει τοιήνδε. ὁ μὲν ἐγκέφαλος, φρουρέει τὴν ἄκρην τοῦ σώματος, ἀσφαλείην ἐμπεπιστευμένος, ὑμέσι νευρώδεσι συνεισκατοικέων. ὑπὲρ ὃν, ὀστέων διπλῶν φύσιες ἀναγκαῖαι ἀρηρυῖαι, δεσπότην φύλακα διανοίης, καλύπτουσιν ἐγκέφαλον. τριχῶν εὐκοσμίη, χρῶτα κοσμέουσι. τὸ δὲ τῶν ὀμμάτων ὁρητικὸν, ἐν πολυχίτωσι φολίσιν ὑγρῷ, ἐνστασίαις ὑπὸ μετώπων, [117] κοιλάσιν συνίδρυται. θεωρίης δ' αἴτιον ἀκριβὴς δ' κόρη. [118] φύλακα ταρσὸν εὐκαιρίης ὑπομένει. διπλοῖ δὲ ῥώθωνες, ὀσφρήσιος ἐπιγνώμονες, διαείργουσι ὀφθαλμῶν γειτνίην. μαλακὴ δὲ χειλέων ἁφὴ στόματι περιπτυσσομένη, ῥημάτων αἴσθησιν, ἀκριβῆ τε διάρθρωσιν παρέσχηκε κυβερνωμένη. γένειον δὲ, ἀκροτελὲς καὶ χελωνεῖον γόμφοις συνηρμοσμένον. ἐνδοχεῖα δὲ μύθων ὦτα, δημιουργὸς ἀνέῳξεν. [139] οἷς ἐπιὼν ὁ θυμὸς, οὐκ ἀσφαλὴς διήκονος ἀλογιστίης γίνεται. λαλιῆς μήτηρ γλῶσσα, ψυχῆς ἄγγελος, πυλωροῦσα τὴν γεῦσιν, [140] ὀχυροῖς ὀδόντων θριγκοῖσι πεφρούρηται. βρόγχος δὲ καὶ φάρυγξ, ἡρμοσμένοι ἀλλήλοις, γειτνιῶσιν. ὁ μὲν γὰρ [141] ἐς κέλευθον πνεύματος. ὁ δὲ, εἰς βυθὸν κοιλίης, τροφὴν προπίπτει. λάβρον ὠθεύμενος. κωνοειδὴς δὲ, καρδίη βασιλὶς, ὀργῆς τιθηνὸς, πρὸς πᾶσαν ἐπιβουλὴν [142] ἐνδέδυκε θώρηκα. ταμιεῖα δὲ πνευμάτων, σήραγγες ἠέρι διαδεδυμέναι, φωνῆς αἴτιον πνεῦμα τίκτουσι. τὸ δὲ χορηγὸν αἵματος, καὶ μεταβάλλον εἰς τροφὴν, σὺν λοβοῖς πολλάκις κοίλη [143] περίπλοος ἐστὶ, ἧπαρ ἐπιθυμίης αἴτιον. [144] χλωρὴ δὲ χολὴ περὶ ἥπατι μένουσα καὶ διαφθορὴ σώματος ἀνθρωπίνου ὑπερβλύσασα γίνεται. βλαβερὸς δὲ σώματος ἀνθρώπου καὶ ἀνωφελὴς ἔνοικος, [145] σπλὴν ἀπέναντι οὐδεν πρῆγμα μηδὲν αἰτεόμενος. μέση δὲ τουτέων, χορηγὸς πάντων δεκτικὴ κοιλίη. κατευνάζει δὲ διοικέουσα τὴν πέψιν. [146] ἔντερα δὲ κοιλίης συνθέσιος δημιουργῇ συνδεδεμένα, εἰλεῖται περὶ κοιλίην ἔντερα. λήψεως καὶ ἀποκρίσεως αἴτια. δίδυμοι δὲ νεφροὶ [147] ἰσχίοισιν ἐνιδρυμένοι, καὶ ἠμφιεσμένοι δημῷ, οὔρων ἐκκρίσιος οὐκ ἀλλότριοι πεφύκασι. κόσμος δὲ ἁπάσης κοιλίης, ὁ καλεύμενος ἐπίπλοος, γαστέρα πᾶσαν ἐμπεριείληφε, μούνου σπληνὸς ἄτερ. ἑξῆς νευρώδης κύστις ἰσχίῳ στόμα ἐνιδρυσμένη συμπεπλεγμένων ἀγγείων, οὔρων ἐκκρίσιος αἰτίη γίνεται. ἡ δὲ γειτνιῶσα ταύτῃ μήτηρ βρεφέων, ἡ δεινὸν ἄλγος τῶν ἐν γυναικὶ μόχθων μυρίων παραιτίη, [148] μήτηρ πεφώλευκεν. ἡ πυλωρὸς μυχοῖς ἰσχίων βρύσασα ἔξω, σφίγγεται νεύροισιν. ἐκ δὲ πλήθους ἐκχέουσα γαστρὸς φύσιος, [149] ἐκ τόκου προνοίης. ἐκ δὲ σώματος κρεμαστοὶ ἐκτὸς, οἰκίην νέμονται ἔκγονοι κτίσται ὄρχιες, πουλυχίτωνες ἐόντες. εὔνοον ἥβη ἀπὸ φλεβέων τε καὶ νεύρων πλέγμα, οὔρων ἔκχυσιν ποιεύμενον, συνουσίης ὑπουργὸν φύσιος ὑποδεδημιούργηται. ὄρεξιν ἥβης πυκαζόμενον. σκέλη δὲ καὶ βραχίονες, καὶ τὰ προσηρτημένα τουτέοις ἄκρα, διηκονίης πάσης ἀρχὴν συνηθροισμένα ἔχοντα, νεύρων τε ἀσφαλῆ λειτουργίην τελέουσι. ἡ δὲ ἀσώματος ἐν μυχοῖς φύσις, ἐξετεύξε παντόμορφα σπλάγχνων γένη· ἃ δὴ θάνατος ἐπισταθεὶς, ὠκέως ἔπαυσε λειτουργίης.

mens ad virtutis exercitationem nullam adhibet diligentiam. Præſens enim morbus animum vehementer hebetat, & intelligentiam in affectus cognationem ſecum adducit. Humanæ verò naturæ deſcriptio hanc habet ſpeculationem. Cerebrum quidem in ſumma corporis parte præſidio locatum eſt, ad ſecuritatem ſibi concreditam, intra membranas neruoſas collocatum, ſupra quod duplicia oſſa ad neceſſitatem adaptata, dominum mentis cuſtodem cerebrum cooperiunt. Pilorum concinna ratio cutem exornat. Oculorum verò cernendi vis intra multas tunicas inſidentib9 humoribus velut in cauo deliteſcens, ſub fronte ad moderationem collocata; cernendi cauſa eſt. Pupilla ſincera palpebræ extremam oram (ταρσὸν dicunt) ad opportunitatis cuſtodiam ſuſtinet. Nares duplices odoratus arbitræ, oculorum viciniam dirimunt. Labra verò os molli ſuo contactu circumplexa, verborum ſenſum & exactam articulationem regunt & efficiunt. Mentum autem in extremitatem deſinit, & teſtudinis in modum conuexum; dentium clauis coaptatur. At aures opifex ad ſermones excipiendos aperuit, in quas cùm ſermo ſubit, certus temeritatis miniſter euadit. Lingua loquentiæ mater, animi nuncia, guſtus cuſtodiæ præfecta; tutis dentium ſepimentis munita eſt. Guttur ac gula iuxta ſeſe coaptata viciniam habent. Illud enim in ſpiritus viam, hæc verò in ventriculi profundum liberaliter propellendo alimentum demittit. Cor regium locum obtinens, coni formam habens, aduerſus omnes inſultus thoracem induit. Crebræ autem ſpiritus cauernæ, aëri peruiæ, ſpiritum vocis cauſam pariunt. At hepar quod ſanguinem ſuggerit, & in alimentum tranſmutat, cum fibris plærunq; vena caua alluitur, cupiditatiſq; cauſa eſt. Bilis pallida in hepate manens, vbi in corpore humano redundat, ipſum corrumpit, eiuſq; noxius & inutilis eſt incola. Splen ex aduerſo iacet, nullam negotium exhibens. Horum medius ventriculus omnia ſuſcipiens, chorum ducit & recumbit, coctionem moderās Inteſtina verò quæ ventris compoſitione continentur, conſtituta vti cum eo agitentur, per ventrem conuoluuntur, eorum quæ aſſumuntur & excernuntur cauſæ. At gemini renes coxis inſidentes, & adipe circūdati, ab vrinarum excretione non alieni, natura ſunt comparati. Omentum vocatum toti ventri dominatur, eumq; ſolo liene excepto complectitur. Veſica deinceps neruoſa, coxæ ore per complicata vaſa, inſidens, vrinarum excretionis cauſa exiſtit. Huic vicina infantium mater, grauis calamitas, ſexcentarum ærumnarum mulieri author vterus deliteſcit. Cuius oſculo caro præficitur, quæ ex imis coxarum receſſibus erumpēs, neruis adſtringitur, ex plenitudine naturæ ventris effundens, ex partus prouidentia. Extra corpus penſiles, domum incolunt, ad generationem conditi teſtes, multiplices tunicas habentes. Pubes autem ex venis & neruis ad beneuolentiam contexta, vrinarum effuſionem facit, ad veneris miniſterium à natura condita, pubertatis appetentiam coarctat. Crura & brachia hiſq; annexa extrema, totum officij principium coaceruatum habent, totamq; neruorum adminiſtrationem perficiunt. Incorporea autem in imis receſſibus natura, viſcerum omne genus fabricauit, quibus ſanè mors inſiſtens, ea celeriter adminiſtratione ſoluit.

Hippocratis ſalubre Conſilium ad Regem Demetrium.

HIppocrates Cous Regi Demetrio, S. Nos cùm antea, ô Rex, operam dederimus vt naturæ humanæ partes in ſumma conſideraremus, eas ad te conſcriptas velut iuſſiſti miſimus. Nunc verò ea quibus ſummo ſtudio prudentes incumbere debent, partim quidem à maioribus excepta, partim verò etiam nunc per nos inuenta ad te ſcripſimus. Quæ ſi priorum morborum ſignis contingentibus aſſecutus fueris, iiſq; ſępiùs vſus fueris, nullum per omne vitæ tempus morbum experieris. Duo autem ſunt ægrotationum genera, quæ vniuerſa animantia affligunt, vnum quidem genere, alterum verò affectu inter ſe diſſimilia. At alimentorum cupiditates ex repugnantibus deprehendes, dum quæ vacuantur eorum quæ plena ſunt, & quæ implent vacuorum indicationem faciũt. Morbos autem omnes ex ſubcontrariis conflatos deprehendes, & morbos ex morbis oriundos. Conuulſionibus ſuccedens febris morbum compeſcit. Capitis magnos dolores, ſanguis per aures aut nares copiosè prorumpens. Conuulſiones melancholicis omnibus ſuccedentes, melancholias ſedant. Et in ſumma quidem humanorum morborum radix caput eſt, ex eoq; maximæ ægrotationes adueniunt. Cùm enim toti corpori incumbat, eorum omnium quæ ingeruntur reliquias & tenues humores non ſecus ac cucurbitulam attrahere contingit. Intendere autem animum oportet, vt ipſi in has partes præparatus peculiariter viuas, & adhibita diligentia tam bene conſtituto ordine omnia apud te fiant, vt nullum ingruentis morbi incrementum accipiat, & neque rerum venerearum, neque diuerſorum eduliorum intemperantia, neque ſomnis maximè noxiis minimè exercitato corpore vtaris, ſed ſigna quæ in corpore fiunt ſecutus, cuiuſque corporis occaſionem conſerues, vt eo qui ingruit morbo euitato, earum medelarum vſu quas præſcribo, ſine vllo morbo vitium tranſigas.

Ἱπποκράτεος ὑγιεινὸν πρὸς Δημήτριον βασιλέα.

ἹΠποκράτης Κῷος βασιλεῖ Δημητρίῳ χαίρειν. ἡμεῖς καὶ πρότερον σπουδάζοντες ὦ βασιλεῦ περὶ τῆς ἀνθρωπίνης φύσεως ἐν κεφαλαίῳ θεωρῆσαι τὰ μέρη, ταῦτα συγγράψαντες καθάπερ ἠξίωσας, ἀπεστείλαμεν. νῦν δὲ περὶ ὧν δεῖ μάλιστα σπουδάζειν τοὺς ἔμφρονας, ἡμεῖς τὰ μὲν, καὶ παρὰ τῶν πρότερον παρειληφότες, τὰ δὲ, καὶ νῦν αὐτοὶ προσεξευρηκότες, γεγράφαμέν σοι. εἰς οὖν τῶν προτέρων ἀρρωστημάτων σημείοις γινομένοις ἐπακολουθῶν, καὶ χρώμενος τούτοις πλειστάκις, ἄνουσος ἂν εἴης διὰ παντὸς τοῦ χρόνου. ἔστι δὲ, δύο γένη ἀρρωστιῶν ἁπάντων ζώων. ἡ μὲν, κατὰ γένος. ἡ δὲ, κατὰ πάθος, ἀνόμοιαι. τὰς δὴ ἐπιθυμίας τὰς κατὰ τὴν τροφὴν, ἐκ τῶν ὑπεναντίων ὄψει, ξηραινομένων τῶν κενουμένων. τὰ δὲ πλήρη πληρωτῶν δὲ κενά. τὰς δὲ νούσους ἁπάσας, ἐξ ὑπεναντίων ὄψει καθεστηκυίας καὶ νούσους ὑπὸ νούσων γινομένας. ὑπὸ σπασμοῦ πυρετὸς ἐπιγινόμενος ἵστησι τὸ νόσημα. κεφαλῆς πολλῆς δὲ περιωδυνίας αἷμα κατὰ τὰ ὦτα ῥαγὲν, ἢ κατὰ τὰς ῥῖνας. σπασμοὶ πᾶσι τοῖς μελαγχολικοῖς ἐπιγινόμενοι. παύουσι τὰς μελαγχολίας. καὶ καθόλου μὲν ἐστὶ καὶ ῥίζα τῶν ἀνθρωπίνων νοσημάτων, ἡ κεφαλὴ, καὶ τὰ ἀρρωστήματα τὰ μέγιστα, ἐκ ταύτης παραγίνεται. ἐπικειμένην γὰρ αὐτὴν τῷ σώματι, ὥσπερ σικύαν τῶν εἰσφερομένων ἁπάντων συμβαίνει αὐτὴν ἕλκειν περιττώματα. καὶ τοὺς λεπτομερεῖς χυμούς. δεῖ δὲ προσέχειν τὸν νοῦν, ἰδίως ζῆν αὐτὸν παρασκευάσαντα εἰς ταῦτα τὰ μέρη. ὅπως μηδεμίαν αὔξησιν λαμβάνοντα, τὰ παραγινόμενα τῶν ἀρρωστημάτων, διά τε τῆς ἐπιμελείας καὶ τῆς εὐταξίας τῆς παρὰ σοὶ γινομένης. καὶ μήτε ταῖς τῶν ἀφροδισίων ἀκρασίαις, μήτε ταῖς τῶν διαφόρων ἐδεσμάτων, μήτε τοῖς ὕπνοις τοῖς ὑπερκορέσι τοῖς ἀγυμνάστου ὄντος τοῦ σώματος χρώμενος, ἀλλ' ἐπακολουθοῦντα τοῖς σημείοις τοῖς γινομένοις ἐν τῷ σώματι, διατηρεῖν τὸν καιρὸν ἑκάστου σώματος. ὅπως ἂν φυλαξάμενος τὸ ἀρρώστημα τὸ μέλλον ἐπιφέρεσθαι, ταῖς θεραπείαις, αἷς ἂν ἐγὼ γράφω, χρώμενος, διατελῇς ἄνοσος ὤν.

Athenienſium Senatus conſultum.

SEnatus Populuſque Athenienſium ſic cenſuit. Quandoquidem Hippocrates Cous Medicus ab Æſculapio oriundus, ſummam beneuolentiam in ſeruandis Græcis oſtendit, cùm peſte à Barbaris in Greciam peruadente, demiſſis per loca ſuis diſcipulis medelas indicauit, quibus qui vterentur inſtantem peſtem ſecurè effugere poſſent quoq; modo Medicina Græcis tradita, eos laborantes tuto ſeruaret. Quin & exactè à ſe ſcripta de re Medica in publicum emiſit, cùm multos eſſe cuperet Medicos, qui ſeruare poſſent. Perſarum etiã Rege ipſum ad honores ſuos optimatibus æquales, & munera quæ ipſe Hippocrates optaret accerſente, Barbari pollicitationes, quòd hoſtis & cõmunis Græcorum inimicus eſſet, contempſit. Vt igitur cõſtet populum Athenienſem, Græcis ſemper vtiliter cõſuluiſſe, vtq; dignã pro meritis Hippocrati gratiã referat, decreuit populus, vt in magnis myſteriis nõ ſec⁹ ac Hercules Iouis fili⁹ publicè initiaretur,

Δόγμα Ἀθηναίων.

ἜΔοξε τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν Ἀθηναίων. ἐπειδὴ Ἱπποκράτης Κῷος ἰατρὸς ὑπάρχων καὶ γεγονὼς ἀπὸ Ἀσκληπιοῦ, μεγάλην εὔνοιαν μετὰ σωτηρίας ἐνδέδεικται τοῖς Ἕλλησι. ὅτε καὶ λοιμοῦ ἰόντος ἀπὸ τῆς βαρβάρου ἐπὶ τὴν Ἑλλάδα, κατὰ τόπους ἀποστείλας τοὺς ἑαυτοῦ μαθητὰς παρήγγειλε τίσι χρὴ θεραπείαις χρωμένους ἀσφαλῶς διαφυλάξασθαι τὸν ἐπιόντα λοιμόν. ὅπως τε ἰατρικὴ δοθεῖσα τοῖς Ἕλλησι ἀσφαλῶς σώζει τοὺς κάμνοντας αὐτῶν. ἐξέδωκε δὲ καὶ συγγράψας ἀκριβῶς τὰ περὶ τῆς ἰατρικῆς τέχνης, πολλοὺς βουλόμενος τοὺς σώζοντας ὑπάρχειν ἰατρούς. τοῦ τε Περσῶν βασιλέως μεταπεμπομένου αὐτὸν ἐπὶ τιμαῖς ταῖς κατ' αὐτὸν ἴσαις καὶ δωρεαῖς ἐφ' οἷς ἂν αὐτὸς Ἱπποκράτης αἱρῆται, ὑπερεῖδε τὰς ὑποσχέσεις τοῦ βαρβάρου, ὅτι πολέμιος, καὶ κοινὸς ἐχθρὸς ὑπῆρχε τοῖς Ἕλλησι. ὅπως οὖν ὁ δῆμος ὁ Ἀθηναίων φαίνηται προαιρούμενος τὰ χρήσιμα διὰ παντὸς ὑπὲρ τῶν Ἑλλήνων, καὶ ἵνα χάριν ἀποδῷ πρέπουσαν Ἱπποκράτει ὑπὲρ τῶν εὐεργετημάτων, δέδοκται τῷ δήμῳ μυῆσαι αὐτὸν τὰ μυστήρια τὰ μεγάλα δημοσίᾳ καθάπερ Ἡρακλέα τὸν Διὸς

καὶ στεφανῶσαι αὐτὸν στεφάνῳ χρυσῷ ἀπὸ χρυσῶν χιλίων. ἀναγορεῦσαι δὲ τὸν στέφανον Παναθηναίοις τοῖς μεγάλοις ἐν τῷ ἀγῶνι τῷ γυμνικῷ. καὶ ἐξεῖναι πᾶσι Κῴων παισὶν ἐφηβεύειν ἐν Ἀθήναις[116] καθάπερ παισὶν Ἀθηναίων. ἐπειδήπερ ἡ πατρὶς αὐτῶν ἄνδρα τοιοῦτον ἐγέννησεν. εἶναι δὲ Ἱπποκράτει καὶ πολιτείαν, καὶ σίτησιν ἐν πρυτανείῳ διὰ βίου.

[117] Ἐπιβώμιος.

ΩΠολλοὶ καὶ πολλῶν πολίων οἰκηταὶ ἐν ἀξίῃ μεγάλῃ χρηστότητος, κοινὸν οὔνομα Θεσσαλοί, πᾶσιν ἀνθρώποισι παρὴ ἀνάγκη τὰ μεμοιραμένα φέρειν.[118] καρτερὴ γὰρ βιάζεσθαι ἃ βούλεται.[119] ἧς εἵνεκα νῦν ἐγὼ εἴκων ξὺν ἐμῇ γενεῇ θαλλοὺς στέψας, ἐπ' Ἀθηναίης βωμοῦ ἱκέτης ἱδρυμαι, τίς ἐὼν χρὴ λέγειν τοῖς ἀγνοέουσιν. Ἱπποκράτης ὦ ἄνδρες ὁ ἰητρὸς ὁ Κῷος[160] ὑπὸ σεμνῆς καὶ καλῆς αἰτίης, ἐμέωυτὸν καὶ παῖδας, ὑμέων ξυνίστημι γινώσκεσθαι τῷ πλήθει. ἐστὲ γὰρ δὴ ὦ ἄνδρες οἰκεῖοι ἐν οἷς ὡς εἰπεῖν ἀληθὲς πολλοῖσιν ὑμέων καὶ πολίων ὑμετέρων γινωσκόμεθα ὡς τύπῳ εἰπεῖν. οὔνομα δὲ ἰδίης καὶ προσωτέρω κεχώρηκε.[161] δοκέει δὲ τοῦτο ἐκ τέχνης ἐμῆς ὑγιείης τε καὶ ζωῆς, αἴτιον ἀνθρώποισιν. οὐ μόνον τοῖσι τὴν ὑμετέρην οἰκέουσιν, ἀλλὰ καὶ πολλοῖσιν Ἑλλήνων, ἐγγὺς ὑμέων γινώσκομαι. ἤδη δὲ δι' ὃ ἐγὼ ὑπέμεινα τὸ τηλικοῦτον πρῆγμα, ἔργον πρῆξαι ἐρέω. Ἀθηναῖοι, ὦ ἄνδρες Θεσσαλοί, κακῶς ἐξολέσθαι χρησάμενοι μὴ τὴν πόλιν ἡμετέρην Κῶν[162] ἐν δουλείης μέρει διατιθέασι, τὴν ἐλευθερίαν διὰ προγόνων κτησίου, ἰδίην τινὰ ποιεύμενοι. οὔτε ξυγγενείην αἰδεσθέντες, ἥ ἐστιν αὐτέοις ἀπὸ Ἀπόλλωνός τε, καὶ Ἡρακλέος, ἥτις ἐς Αἴνιόν τε καὶ Σούνιον, τῶν κείνων παῖδας ἱκνέεται.[163] οὔθ' Ἡρακλέος εὐεργεσιῶν εἵνεκεν πεμένος νόον βαλλόμενοι, ἃς ὁ κοινὸς ὑμῖν τε, καὶ ἡμῖν ὀρθῶς ποιέων θεὸς, ἐς ἐκείνους κατέθετο. ὑμεῖς τε ἀλλὰ πρὸς Διὸς ἱκεσίου καὶ θεῶν ὁμογνίων ἐξέλθετε. ἀμύνατε. ἐλευθερώσατε τῆς ἰδίης φιλοτιμίης μηδὲν ἐλλείποντες.

[164] Πρεσβευτικὸς Θεσσαλοῦ Ἱπποκράτεος υἱοῦ.

ΠΡοσήκειν ἡγέομαι ὦ ἄνδρες Ἀθηναῖοι, τὸν καθιστάμενον εἰς ὑμέας, καὶ μὴ γινωσκόμενον τοῖσι τῶν πλήθεσι, πρῶτον δηλῶσαι μὲν, ὅς τις, καὶ ὅθεν ἐστί. μετὰ δὲ ταῦτα τὸν ἄλλον λόγον ἀποτελέσθαι. ἐμοὶ μὲν πατὴρ, Ἱπποκράτης. ὃν ὑμεῖς γινώσκετε ἐν ἰητρικῇ ἡλίκην δύναμιν ἔχει. ὄνομα δὲ Θεσσαλός. γινώσκομαι δὲ κἀγὼ, οὐκ ἐν δευτέροις ὑμέων, οὐδ' ὀλίγοις. πατρὶς δέ μοι, Κῶς. ἣν ὅπως ὑμῖν οἰκείη ἐστὶν ἐκ παλαιῶν, ἕτεροι ἐροῦσιν, οἳ τὴν ἱστορίην ἐξηγήσασθαι δυνατώτεροι. ἦλθον δὲ πεμφθεὶς ὑπὸ τοῦ πατρὸς. τέσσαρας ἐρῶν εὐεργεσίας εἰπεῖν παρ' ἡμέων εἰς ὑμᾶς γεγενημένας. τὴν μὲν τινὰ παλαιὰν ἐπὶ τῶν προγόνων, κοινὴν ἐς ἅπαντας τοὺς Ἀμφικτύονας, ὧν ὑμέες οὐκ ἐλαχίστη μοῖρα. τὴν δὲ ἑτέρην ἐπὶ μείζω ταύτης,[165] καὶ διικνευμένην ἐς Ἑλλήνων τοὺς πλείονας. καὶ αὗται μὲν φανήσονται τῆς πόλιος, καὶ τῶν προγόνων τῶν ἐμῶν ἐοῦσαι. ἡ δὲ τρίτη, τοῦ πατρὸς ἰδίη καὶ τηλικαύτη, ὅσην εἰς αὐτὴν οὐδεὶς ὑμῖν τε καὶ πολλοῖς Ἑλλήνων κατέθετο. ἡ δὲ ὑστάτη τῶν τεσσάρων, κοινὴ τοῦ πατρὸς καὶ ἐμή. καὶ οὐκ εἰς ἑτέρους πλείονας, ἀλλ' εἰς ὑμᾶς αὐτοὺς διικνεομένη. ἡ πρὸς μὲν τὰς προτέρας εὐεργεσίας, μικρὴ ἂν φανείη. πρὸς δὲ ἑτέρων χάριτας μετρεομένη, μεγάλη, αἱ μὲν δὴ εὐεργεσίαι τοιαῦται, οὕτως ἔχουσιν ὡς ἔφην εἶναι, ὡς συνελόντι εἰπεῖν. δεῖ δέ με μὴ μόνον φάναι,

& corona aurea mille aureorum coronaretur, coronam ipſam Quinquatribus magnis in gymnico certamine præcone proclamante. Et omnibus Coorum liberis liceat, non ſecus ac Athenienſium, Athenis pubertatem agere, quod eorum patria eiuſmodi virum procrearit. Hipp. verò vt ciuitatis iure & victu in Prytaneo toto vitæ tempore donetur.

Hippocratis Oratio ad aram.

VOs alloquor ô multi & multarum vrbium incolæ, ſummaque dignitate conſtituti, communi nomine Theſſali. Mortales omnes duræ fati neceſſitati ſunt obnoxij, quæ quod velit per vim extorquere poteſt. Quam etiam ob cauſam nunc cum prole mea fronde coronatus ad Mineruæ aram ſupplicanti ſimilis ſedeam, quis ſim his qui me non norunt enarrare oportet. Hippocrates Medicus Cous, ô viri, graui & honeſta de cauſa meipſum & liberos veſtræ multitudini cognoſcendos trado. Vos etiam mihi ſane familiares eſtis, inter quos (ie vera) plurimos, & in veſtris vrbibus, vt paucis expediam, noti ſumus. Nomen verò meum vlterius quàm forma proceſſit. Id autem cauſæ ex arte mea, quæ ſanitatem & vitam tuetur, fuiſſe videtur, quod non ſolum hominibus qui veſtram regionem incolunt, verumetiam multis Græcis vobis finitimis notus ſum. Cur autem tantum negotium peragendum ſuſceperim, iam referam. Athenienſibus malè vertat (viri Theſſali) qui Metropolim noſtram Co in ſeruitutem redigentes, libertatem à maioribus acceptam, priuato ſibi iure vendicant, neque cognationem reuereri, quæ illis eſt cum Apolline & Hercule, & ad Ænium & Sunium eorum liberos peruenit, neque illis in mentem venit Herculis beneficiorum, quæ vobis & nobis communis ille Deus & bene volens, in illos contulit. At vos per Iouem ſupplicum curam gerentem, & per penates Deos foras prodite, & veſtræ dignitatis memorem in libertatem aſſerite.

Theſſali Hippocratis filij Oratio.

COnſentaneum eſſe arbitror, viri Athenienſes, vt is qui apud vos dicturus venit, cùm multitudini notus nō ſit, primùm quidem quinam & vnde ſit demonſtret, deinde verò reliquam oratione perſequatur. Pater certè mihi eſt Hippocrates, quem quantam habeat in arte Medica facultatẽ, optimè noſtis, nomen verò Theſſalus, qui & inter vos non in poſtremis, nec in paucis ſum cognitus. Patria mea Cos eſt, quæ qua ratione vobis ab antiquo coniuncta ſit, ceteri dicent qui in enarranda hiſtoria plus valent. Huc autem veni à patre miſſus, quatuor in vos a nobis collata beneficia commemoraturus. Vnum quidem vetus quoddam, maiorum noſtrorum memoria, in omnes Amphyctiones cōmune, quorum vos non minima pars eſtis. Alterum verò hoc aliquanto maius, quod etiam ad plurimos Græcos permanauit. Et hæc quidem ab vrbe noſtra & maioribus noſtris profecta deprehendentur. At tertium patris eſt proprium, & tantum quantum nemo vnquam hominum, tum apud vos, tum apud multos Græcos poſuit. Quartum & vltimum mihi cum patre commune eſt, quod nec iam in multos, ſed in vos ipſos redundauit. Quod quàquam cum prioribus beneficiis comparatum, paruum videri queat, ad aliorum tamen beneficia collatum, magnum eſt. Atque hæc quidem beneficia, vt paucis comprehendam, quemadmodum dixi, ita ſe habent. Vera autem eſſe non ſolum dicere,

ſed etiam demonſtrare conuenit. Orationis igitur noſtræ exordium ab officiis noſtris ſumam, ac primù antiquiſſima referam, in quibus longiora fortaſſe & fabuloſiora narrare videbor. Quiuis autem vetus dici deſiderat. Olim enim Criſæa gens fuit, & circa Pythicum templum habitabat, terram autem quę nunc Apollini dicata eſt, incolebat. Criſæus verò campus vocatur, quem Locri accolunt, & in quo ſunt Melæna. Cirphius autem mons, cui Phocenſes adiacent. Criſæi verò cùm numeroſi eſſent, potentes & diuites, his bonis inſolentiùs abutentes, multa grauia & iniuſta perpetrarunt, in Deum etiam impiè ſe gerentes, Delphos ſubiugantes, vicinos diripientes, colonos deprædantes, vxores, & liberos adducentes, & in eorum corpora flagitium committentes. Ex quibus ira commoti Amphictyones, immiſſo in eorum agros exercitu, iiſque prælio ſuperatis, regionem deuaſtarunt, & vrbes expugnarunt. Vbi qui multa & nefaria perpetrarunt, in miſerabiles calamitates inciderunt, neque minores pœnas quàm aliis inflixerant, perſoluerunt. Ex quibus fœliciſſimi fuerunt, qui hoſtium manibus perierunt. Deinde qui bello capti ſunt, quique ad aliam regionem ad vrbes tranſmiſſi ſunt. Neque enim ſua mala ob oculos habuerunt. At qui captiui illic remanſerunt, infœliciſſimi fuerunt, qui ſuam regionem incolentes, cum vxoribus & liberis agros & vrbes igne conflagrantes aſpexerunt. His autem adhuc peiùs degebant, qui intra mœnia perdurabant, cùm commemorata mala partim quidem videbant, partim verò ſciſcitando reſciſcebant, veris maiora audientes, (ſic enim contingere ſolet) & ſanè ſuæ ſaluti diffidebant. Erat autem illis vrbs prope hunc locum maxima, vbi nunc equeſtre certamen celebratur, in quam mœnibus extructis aliarum vrbium exules receperunt, inutilibus verò eiectis neceſſaria comportarunt, & de ſuſtinendo bello cogitabant, ſperantes neque hoſtili manu, neque longa temporis obſidione vrbem capi poſſe. Amphictyones verò tum reliqua deſtruxerunt, tum præſidio vrbi impoſito, & ad obſidionem comparato, reliquum exercitum per vrbes dimiſerunt. Succeſſu verò temporis, cùm peſtis caſtra inuaſiſſet, militibus ægrotantibus, quibuſdam etiam morientibus, aliis quoque propter morbum præſidium deſerentibus, Amphictyones turbati ſunt, & varia inter ſe cóſultabant. Sic autem in rebus communibus quodammodo fieri ſolet. Demum verò morbum indignè ferentes, & bellum deſperantes, rem Deo commiſerunt, & quid agendum foret interrogauerunt. At ille bellum gerere iuſſit, & victoriam pollicitus, ſi Cô peterent, ceruique filium cum auro in ſubſidium adducerent, idque feſtinabundi, priùs quàm Criſæi in adyto tripodem diriperent, alioqui vrbem capi nó poſſe. Quibus auditis Cô profecti oraculum renunciauerunt. Hærentibus autem Cois & vaticinium ignorátibus, ſurrexit ex Aſclepiadarum genere quidam ex maioribus noſtris Medicus inter Græcos eius temporis procul omni dubio præſtantiſſimus, ei nomen erat Nebrus, qui dixit oraculum præcipere vt ad ſe venirent. Siquidem Deus vobis conſuluit, vt Co profecti,

ἀλλὰ καὶ ἀποδεῖξαι ὡς εἰσὶν ἀληθέες. ἀρχὴν δὲ τοῦ λόγου [166] τὴν ἀρχὴν τῶν ὑπουργιῶν ποιήσομαι. τὰ δὲ ἀρχαιότατα πρῶτα λέξω, [167] ἐν οἷς τάχ᾽ ἄν με καταλάβοιτε μακρότερα καὶ [168] μυθωδέστερα εἰπεῖν, ποθεῖ δὲ πᾶς ἀρχαῖος λέγεσθαι. ἦν γὰρ ὁ Κρισαῖος ποτὲ ἦν Κρισαῖον ἔθνος. ᾤκεον μὲν περὶ τὸ Πυθικὸν ἱερόν. γῆν δ᾽ εἶχον ἥ γε νῦν τῷ Ἀπόλλωνι καθιέρωται. καλέεται δὲ τὸ μὲν Κρισαῖον πεδίον ὃ Λοκροὶ παροικέουσι, [169] καὶ ὃ Μέλαινα προσέσειοι. τὸ δὲ Κίρφιον ὄρος, ᾧ Φωκέες παρακέενται. οὗτοι δὲ οἱ Κρισαῖοι γενόμενοι τότε πολλοὶ καὶ ἰσχυροὶ καὶ πλούσιοι, τουτέοις τοῖς ἀγαθοῖς, ἐπὶ κακῷ ἐχρήσαντο. ἐξυβρίσαντες γὰρ, πολλὰ δεινὰ καὶ παράνομα πρήγματα εἰργάσαντο, εἰς τὸν θεὸν ἀσεβοῦντες. Δελφοὺς καταδουλούμενοι. περιοίκους ληϊζόμενοι, [170] γεωργοὺς συλέοντες. γυναῖκας δὲ καὶ παῖδας ἄγειν ἐόντες. καὶ εἰς τὰ σώματα ἐξυβρίζοντες. ἀνθ᾽ ὧν ἀμφικτύονες, ὀργισθέντες καὶ στράτευμα ἐς τὴν γῆν ἐμβαλόντες αὐτέων, [171] καὶ μάχῃ νικήσαντες, τὴν χώρην ἐδῄωσαν, καὶ τὰς πόλιας ἐπόρθησαν. ἔνθα πολλὰ καὶ ἀνόσια πεπονθότες, σχετλίως ἀπώλοντο, καὶ οὐ μεῖον, ὧν ἔπρηξαν ὑπέχοντες. μακαριστοὶ δὲ ἦσαν αὐτέων οἱ ἐν χερσὶ τελευτήσαντες, δεύτεροι δὲ οἱ δορυάλωτοι γενόμενοι, οἵτε ἐς ἑτέρην χώρην καὶ πόλιας ἐπεραιώθησαν. τὰ γὰρ σφέτερα κακὰ, οὐκ εἶχον ἐν ὀφθαλμοῖς. οἱ δὲ αὐτοῦ μείναντες τῶν αἰχμαλώτων, ἀτυχέστατοι ἦσαν, [172] ὅσοι οἰκίζοντο ἐν χώρῃ τῇ ἑωυτῶν, ξὺν γυναιξὶ καὶ τέκνοις, ἀγρούς τε καὶ ἄστεα πυρὶ παραδιδόμενα ἐθεώρεον. ἔτι δὲ τουτέων κάκιον διῆγον οἱ ἐν τοῖς τείχεσι διαρκέοντες, ὁκότε τῶν εἰρημένων κακῶν, ἃ μὲν ἔβλεπον ἃ δ᾽ ἐπυνθάνοντο, πλέον ἀκούοντες τῆς ἀληθείης. οὕτω γὰρ που ἔθος γίνεσθαι. καὶ δὴ κακὰς ἐλπίδας σωτηρίης εἶχον. ἦν δέ σφι πόλις ἐγγὺς τοῦ τόπου μεγίστη, ὅκου νῦν ὁ ἱππικὸς ἀγὼν τελέεται. ἧς τὰ τείχη ἐπεσκευάζοντο, καὶ τοὺς ἐκ τῶν ἄλλων πολέων διαφυγόντας ἐδέχοντο. τὰ δὲ ἀχρεῖα ἐξέβαλον, καὶ τὰ ἀναγκαῖα ἐσεκομίζοντο καὶ διενοοῦντο ὑπομένειν, ἐλπίσαντες μήτε ἐφ᾽ ὧν μάχῃ τὴν πόλιν αἱρεθῆναι, μήτε κατὰ μῆκος χρόνου. οἱ δ᾽ ἀμφικτύονες τά τ᾽ ἄλλα τε καθεῖλον, καὶ ἐπὶ ταύτῃ τῇ πόλει φρούριον ποιησάμενοι καὶ ἐς πολιορκίην σκευάσαντες τὸ ἄλλο στράτευμα, κατὰ πόλιας ἀφῆκαν. προϊόντος δὲ τοῦ χρόνου, [173] καὶ λοιμοῦ ἐς τὸ στρατόπεδον ἐμπεσόντος, καὶ τῶν στρατιωτῶν νοσεόντων. τινῶν δὲ καὶ ἀποθνησκόντων. τῶν δὲ καὶ ἐκλιπόντων τὸ φρούριον διὰ τὴν νοῦσον, οἱ ἀμφικτύονες ἐταράσσοντο. καὶ ἄλλοι ἄλλα ἐβουλεύοντο. φιλεῖ δὲ τὰ κοινὰ οὕτω πως γίνεσθαι, τέλος δὲ ἀγανακτέοντες τῷ πάθει, [174] καὶ ἀπογνωσιμαχήσαντες, τῷ θεῷ ἐπέτρεψαν καὶ ἤροντο ὅ, τι χρὴ ποιέειν. ὁ δ᾽ ἐκέλευσε πολεμέειν, καὶ ὑπισχνέετο κρατήσειν, ἢν ἐς Κῶ ἐλθόντες ἐλάφου παῖδα, [175] ἐς ἐπικουρίην ἀγάγωνται ξὺν χρυσῷ σπεύσαντες, ὡς μὴ πρότεροι οἱ Κρισαῖοι ἐν τῷ ἀδύτῳ τὸν τρίποδα συλήσωσιν. εἰ δὲ μὴ, τὴν πόλιν οὐχ ἁλώσεσθαι. οἱ δὲ ταῦτα ἀκούσαντες καὶ ἐλθόντες ἐς Κῶ, τὰ μαντευθέντα ἀπήγγελλον. ἀπορεόντων δὲ τῶν κώων, καὶ ἀγνοεύντων τὸ ἀπομάντευμα, ἀνέστη ἀνὴρ γένος μὲν Ἀσκληπιάδης. πρόγονος δὲ ἡμέτερος. ἰητρὸς δὲ ἑλλήνων κράτιστος ὁμολογεύμενος, τῶν τότε. ὄνομα οἱ Νέβρος, ὃς τὰς ὀνομάζειν ἔφη τὸ σοφὰ τὸ ἥκειν πρὸς ἑωυτόν. εἶπεν ὁ θεὸς οὕτως παραινέσει ὑμῖν, ἐλθόντας ἐς Κῶ,

ἐλάφου

ἐλάφου παῖδα. ἐς ἐπικουρίην ἀγαγεῖν. Κῶς μὲν γὰρ αὕτη. τὰ δ' ἐλάφων ἔκγονα, νεβροὶ καλέονται. νεβρὸς δέ μοι οὔνομα. ἐπικουρεῖν δὴ αὖ δέῃ τίς προτέρη γένοιτο στρατοπέδῳ νοσέοντι, ἢ ἰητροῦ; καὶ μὴν τό γε εὔηθες ἐχέμυθον οὐ δοκέω, ὅτι σφέας τοσοῦτον Ἑλλήνων ὄλβῳ ὑπερέχοντας ἐς Κῶ προσελθόντας ἔταξεν ὁ θεὸς, νόμισμα χρυσοῦν αἰτεῖν. δηλαδὴ τὸ θέσφατον, ἐς τὴν ἐμὴν οἰκίην ἔρχεται. χρυσὸς γάρ μοι κικλήσκεται ἀρρένων παίδων ὁ νεώτατος. 176 ἔστι δὲ πάντη καλὸς ἰδεῖν, καὶ ἐς ψυχὴν ἀρετῇ, ὡς πατρὶ θέμις λέγειν, διαφέρων πάντων τῶν πολιτῶν. ἐγὼ μὲν οὖν εἰ μὴ ὑμῖν ἄλλο δοκέῃ, αὐτός τε εἶμι, καὶ τὸν παῖδα ἄξω, 177 πεντηκόντορον πληρώσας τοῖς ἐμοῖς τελέσμασιν, ὑπηρεσίας τε ἰητρικῆς καὶ πολεμικῆς, ἵνα εἰς ἀμφότερα βοηθῶμεν. ὁ μὲν εἶπε, τοῖς δ' ἔδοξεν. 178 οἱ δ' ἀπεστάλησαν. συνανέβησε δὲ ὁ νεβρὸς αὐτοῖς, καὶ Καλυδώνιον ἄνδρα, παρ' ἑωυτῷ τρεφόμενον. ὑπὲρ οὗ τάχα αὐτίκα ὁ λόγος δηλώσει, ὅταν ἡ χρῆσις ἔλθῃ. ἐπεὶ δὴ οὖν ἀφίκοντο οὗτοι οἱ ἄνδρες οὗ τὸ στρατόπεδον ἐπετελεῖτο, ὁ θεὸς ἔχαιρεν, οἵ τε γὰρ θάνατοι τῶν στρατιωτῶν ἔληξαν. καὶ θείῃ τύχῃ ἵππου τοῦ Εὐρυλόχου, ὃς ἡγεῖτο τοῦ πολέμου, Θεσσαλὸς ἐών, καὶ ἄνωθεν ἐξ Ἡρακλειδῶν, κρούσαντος τὸν σωλῆνα τῇ ὁπλῇ δι' οὗ τὸ ὕδωρ ἤγετο ἐς τὸ τεῖχος, 179 ὁκότε διακονίεσθαι ἤθελεν, νεβρὸς φαρμάκοισιν ἔμιξε τὸ ὕδωρ. ἔνθεν αἱ κοιλίαι τῶν Κρισαίων ἐφθάρησαν. καὶ μεγάλα δὴ τοῦτο ξυνεβάλετο, πρὸς τὸ ἁλῶναι τὴν πόλιν, καὶ ἐντεῦθεν αἱ γνῶμαι ἐπήρθησαν τῶν πολιορκεόντων, ὡς τοῦ θεοῦ ἐπικουρέοντος ἤδη σαφῶς. προσβολὰς δὲ ποιευμένων, καὶ ἆθλα προτεθέντων τοῖς πρώτοις ἐπὶ τὸ τεῖχος, 180 ἀναβήσασιν, ὁ ἀγὼν ἦν ὁ καρτερώτατος. καὶ ἡ πόλις ᾑρέθη. ἀνέβη γὰρ πρῶτος ἐπὶ τὸ τεῖχος Χρυσὸς, καὶ κατέλαβε τὸν πύργον. ξυνείπετο δὲ αὐτῷ ἐκποδὸς ξυνασπίζων, ὁ ἀνὴρ ὁ Καλυδώνιος, περὶ οὗ προέλεξα. ὁ μὲν Χρυσὸς δόρατι πληγεὶς, ἔπεσε, κατ' ἄκρης ἐκ τοῦ πύργου, ὑπὸ Μερμοδέω, τοῦ Λύκου δὲ ἀδελφεοῦ, 181 ὃς ἀπέθανεν λευσθεὶς, ὅτε ἦλθεν εἰς τὸ ἄδυτον τὸν τρίποδα συλήσων. οἱ δὴ οὖν πόλιν οὕτως εἷλον. ἥ, τε τοῦ νεβροῦ ἐπικουρίη, σὺν Χρυσῷ ὀρθῶς ἀπήντησεν, καὶ κατὰ τὰ ἰατρικὰ καὶ κατὰ τὰ πολεμικά. ὅ, τε θεὸς ἠλήθευσε. καὶ ἃ ὑπέσχετο ἐποίησεν, ἐφ' οἷς οἱ Ἀμφικτύονες, τῷ μὲν Ἀπόλλωνι ναὸν ἀνέθεσαν, τὸν νῦν ἐόντα ἐν Δελφοῖς. ἀγῶνα τε γυμνικὸν καὶ ἱππικὸν πρότερον οὐ τιθέντες, νῦν τιθέασι. τήν τε τῶν Κρισαίων χώρην ἅπασαν καθιερώσαντο, δόντι ἃ δέδωκε διδόντες, καθ' ὅ, τι ἔχρησε. τόν τε τοῦ νεβροῦ παῖδα Χρυσὸν ἔθαψαν ἐν τῷ ἱπποδρόμῳ. 182 καὶ ξυνέταξαν δημοσίῃ Δελφοὺς ἐναγίζειν. Ἀσκληπιάδαις δὲ τοῖς ἐν Κῷ ἐδόθη νεβροῦ χάριν, προμάθεια πρὸς μαντείην. καθάπερ τοῖσιν ἱερομνήμοσι. Καλυδωνίοις δὲ ἀπ' ἐκείνου τοῦ ἀνδρὸς καὶ ἐκείνης τῆς ὑπουργίης, καὶ νῦν ἐν Δελφοῖς προμαντείη, καὶ διασιτίη δίδοται. ἀλλ' ἐπάνειμι ἐπὶ τὰ ἡμέτερα. ὅτι γὰρ ἀληθέα λέγω τοῦ πατρὸς, καὶ ἐμοῦ ἐπελθόντων Ἀμφικτύονες ἀνενεώσαντο ταῦτα, καὶ ἀπέδωσαν; καὶ ἐν στήλῃ ἀναγράψαντες ἐν Δελφοῖς ἀνέθεσαν, καὶ τούτου μέν μοι τοῦ λόγου τέλος. ἐν ταῦτα καταφανῶς δείκνυσι τοὺς ἡμετέρους προγόνους ὑμέων εὐεργέτας. τοῦτον δὲ καταλείπων, ἄλλον αἱρήσομαι περὶ τῶν αὐτῶν, οὐ τὸν αὐτόν. ὅτε γὰρ βασιλεὺς ὁ μέγας ξὺν Πέρσαισι, καὶ τοῖς ἄλλοις βαρβάροις ἐστράτευσε ἐπὶ τοὺς μὴ διδόντας ὕδωρ,

Cerui filium in ſubſidium adduceretis. Hæc equidem eſt Cos, ceruorum fœtus Nebri appellantur, Nebrus autem mihi nomen eſt. Quodnam verò ſubſidium male habenti exercitui potius fuerit quàm Medicus? Et certè, rectè conſentaneum non exiſtimo, vt eos qui in tantum Græcos diuitiis ſuperant, Deus Co venire iuſſerit, vti aureos nummos peterent. Verùm oraculum iſtud in familiam meam venit. Chryſus enim mihi vocatur filiorum meorum natu minimus. Hic autem omnino & ſpecie, & animi virtute (ſi patri dicere licet) omnibus ciuibus præcellit. Ego igitur, niſi quid aliud vobis videatur, naui actuaria quinquaginta remorum, meis ſumptibus auxiliis medicis & bellicis inſtructa, & ipſe veniam, & filium meum deducam, vt vtroque modo vobis auxilium feramus. Quæ cùm dixiſſet, his qui miſſi fuerant placuerunt. Hic verò Nebrus Calydonium apud ſe educatum, cuius ſtatim, cùm res tulerit, mentio fiet, ſecum nauem conſcendere iuſſit. Cùm igitur ad locum caſtrorum hi perueniſſent, Deus lætatus eſt. Nam & militum mortes ceſſarunt, cumque diuina quadam fortuna equus Eurylochi, qui belli dux & Theſſalus erat, & originem ex Heraclide altiùs repetebat, in puluere volutatus, canalem ex quo aqua in vrbem deducebatur, vngula percuſſiſſet, Nebrus eam venenis infecit, ex quo Criſæorum ventres in exitiũ adducti ſunt, idque multum certè ad capiendam vrbem contulit. Indeque velut Deo apertè auxilium ferente, obſidentium animi ſublati ſunt. Cùm autem impetum in muros facerent, & his qui in mœnia conſcendiſſent præmia proponerent, validiſſimum certamen fuit, vrbſque capta eſt. Chryſus enim primus in murum conſcendit, & turrim occupauit. Eum autem è veſtigio ſequebatur ſimul dimicans vir ille Calydonius, de quo ante dixi. Chryſus quidem ex ſumma turri decidit, haſta percuſſus à Mermodo Lyci fratre, qui cum tripodem direpturus in adytum veniſſet, lapidibus obrutus periit. Sic igitur vrbem ceperunt, Nebrique auxilium cum Chryſo, tum in Medicis, tum in bellicis rebus bene reſpondit, Deuſque verax fuit, & quæ promiſerat præſtitit. Quibus de cauſis Amphictyones Apollini templũ quod nunc Delphis eſt dicarunt, certamenque Gymnicum & equeſtre, quod nunquam antea, nunc conſtituerunt, totamque Criſæorum regionem conſecrarunt, ea quæ dederat ob editum oraculum reddentes, Chryſumque Nebri filium in circo equeſtri ſepelierunt, & ſtatuerunt vt ei Delphi publicè parentarent. Aſclepiadis verò in Co in Nebri gratiam vaticinandi prudentia conceſſa eſt, quemadmodum iis qui ſacrorum rituum memoriæ præfecti ſunt. Calydoniis autem ob illius viri & officij meritum, etiam nũc apud Delphos primæ vaticinandi partes & victus publicus conceduntur. Verùm ad noſtra redeo, quodque vera refero inde patet, quod cùm pater & ego acceſſiſſemus, Amphyctiones hæc renouarunt & confirmarunt, Delphiſque columnæ inſcripta legenda propoſuerunt. Atque huius quidem orationis exitus liquidò oſtendit maiores noſtros de vobis eſſe bene meritos. Ea verò dimiſſa, aliam de iiſdem, non tamen eandem aſſumam. Cùm enim Magnus ille Rex cum Perſis & barbaris, in Græcos qui cum aqua

[illegible] arcerent, exercitum duceret, patria noſtra [illegible] cum toto populo perire, vt ne in vos & eos qui vobiſcum ſentirent arma ſumeret & expeditionem naualem mitteret, ſed excelſo animo renuit, honeſtum quid & maioribus ſuis dignum ſentiens, qui terra editi & Heraclidæ dicuntur. Ipſis igitur placuit, vt quatuor quæ erant in inſula omnibus relictis vrbibus, in montes confugerent, & ſalutem viribus omnibus retinerent. Ex quo ſanè quid non mali obtigit, regione deuaſtata, liberis corporibus in ſeruitutem abductis, & hoſtili iure interfectis, vrbeque & cæteris præſidiis ac templis in cinerem redactis. Quinetiam Artemiſiæ Lygdamis filiæ pro patrum victoria, permiſſum erat omnia quæ reliqua erant aſportare. At enim à Diis (vt res docuit) derelicti non ſumus. Sed immanibus exortis tempeſtatibus naues omnes in periculum adductæ ſunt, pleræque etiam perierunt, & in eius exercitum crebra fulmina deciderunt, inſula noſtra rarò fulmine appetita. Feruntur etiam Heroum ſpectra mulieri eſſe viſa, quibus omnibus perterrita, atrocibus cœptis poſt acerbam confeſſionem deſtitit, quæ quod dictu acerba ſint, etiam à me dimittantur. Hoc verò loco maioribus etiam meis quæ ſint illis valde propria, neque falſa reddam, Coos nunquam aduerſus vos, neque Lacedæmonios, neque alios Græcos ſponte arma ſumpſiſſe, quamuis multi qui ſimul inſulas & Aſiam incolunt, bello cum Barbaris nulla vi coacti, coniuncti eſſent. Tunc enim vrbi præerant Cadmus & Hippolochus, qui re vera ex noſtris ſunt maioribus. Nam Cadmus qui Senatum etiam regebat, ex matris meæ maioribus eſt. Hippolochus verò ex Aſclepiadum familia, à Nebro qui Criſæos ſimul euertit, quartus eſt. Nos autem Aſclepiadæ ex virili ſtirpe ſumus. Proinde præclarum hoc maiorum noſtrorum facinus amplecti vos decet. Nunc autem ad Cadmum redeo. Hic certè ornamenti Græciæ adeo ſtudioſus fuit, vt cùm regio Artemiſiæ obſidione ſoluta eſſet, vt relicta iſthic vxore & familia, cum iis qui eadem ſentiebant, in Siciliam profectus ſit, vti Gelonem eiuſque fratres ab amicitia cum Barbaris contra Græcos cõtrahenda diverteret, multaque alia præclara facinora perpetrauit, quæ verbis exaggerare tempeſtiuum nõ eſt. Ac certè quidem hæc & eiuſmodi ſunt publica noſtrorum in vos & reliquos Græcos officia, vt me dicendi facultas deficiat. Iam verò eò deuenio vt Hippocratis patris mei beneficiũ vobis in mentem reducã, quod cùm recenſeo, verum me dicere ſic cõperietis. Cùm peſtis ex Barbarorum regione, quæ ſupra Illyrios & Pæonas ſita eſt, decurreret, cumque malum ad hanc regionem perueniſſet, iſtarum nationum Reges, pro rei Medicæ fama, quæ re vera vires ſuas quocumque extenderat, ad patrem meum in Theſſaliam mittunt, qui illic ſanè, vt priùs, etiam nũc domum habet, ipſum vt auxilium ferret accerſentes. Neque aurum ſolum & argentum, reliquáſque opes ſe miſſuros receperunt, verùm etiamſi ſuccurreret, quæcunque vellet reportaturum. Ille verò percontatus quænam apud eos peculiares agitationes contingerent, & æſtus, ventos, & aëris perturbationes, reliquáque quæ corporum habitus ex præſenti ſtatu agitare queũt. Quæ certè omnia edoctus,

καὶ γὰρ τῶν Ἑλλήνων, ἡ πατρὶς ἡ ἡμετέρη εἵλετο μᾶλλον πανδημεὶ ἀπολέσθαι, ὡς μὴ καθ' ὑμέων τι, καὶ τῶν σὺν ὑμῖν γινωσκόντων ὅπλα πολέμια λαβεῖν, [124] καὶ ἐν νηυσὶ στρατιὴν ἀποστείλῃ, ἀλλ' ἀνέδυσε καλόν τι καὶ ἄξιον πατέρων μεγαλοφρονησαμένη, οἳ λέγονται γηγενέες τε εἶναι, καὶ Ἡρακλεῖδαι. ἔδοξεν οὖν σφι τεσσάρων ἐόντων τειχέων ἐν τῇ νήσῳ, πάντ' ἐκλείπειν καὶ ἐς τὰ ὄρεα καταφυγοῦσι ἀντέχεσθαι σωτηρίης. ὅθεν δή τι κακὸν οὐκ ἀπῆν τότε, χώρης ληϊζομένης, καὶ σωμάτων ἐλευθέρων ἀνδραποδιζομένων καὶ κτεινομένων ἐχθρῶν νόμῳ, τῆς δὲ πόλιος, καὶ τῶν ἄλλων ἐρυμάτων, καὶ ἱερῶν [125] καταιθαλουμένων. ἦν δὲ καὶ τῇ θυγατρὶ τοῦ Λυγδάμιος Ἀρτεμισίῃ κατὰ πατέρων νίκης δοθέντων [126] ἐκσαγηνεῦσαι πάντα ὅσα λοιπὰ ἦν. ἀλλὰ γὰρ ὡς ἔοικε θεοῖς οὐκ ἠμελήμεθα. χειμώνων δὲ ἐπιγενομένων ἐξαισίων, αἵ τε νέες τῆς Ἀρτεμισίης ἐκινδύνευσαν ἅπασαι ἀπολέσθαι. πολλαὶ δὲ ἀπώλοντο. ἔς τε τὸ στράτευμα αὐτῆς πολλοὶ κεραυνοὶ ἐνέπεσον, ἀσυνήθεος τῆς νήσου κεραυνουμένης. λέγεται δὲ καὶ φάσματα ἡρώων τῇ γυναικὶ ὀφθῆναι. ἃ δὴ πάντα φοβηθεῖσα, [127] ἀπέστη ἔργων ἀεικέων, ὁμολογίας πικρὴν ποιησαμένη. καὶ λίην πικρὴν λέγεσθαι. ὥστε ἀφείσθω. ἀποδώσω δὲ καὶ ἐνταῦθα προγόνοις τοῖς ἐμοῖς κυριώτατα οὐ ψευδέα, τοὺς μήτ' ἐφ' ὑμέας, μήτ' ἐπὶ Λακεδαιμονίους [128] ἑτέρους ἄλλους Ἕλληνας, κώους ἑκούσια ὅπλα λαβεῖν. καίπερ πολλῶν τῶν ὁμοῦ νήσους τε καὶ Ἀσίην οἰκεόντων συναψαμένων τοῖς βαρβάροις τοῦ πολέμου οὐ βίῃ. οἱ γὰρ προεστῶτες τότε τῆς πόλεως ἦσαν, Κάδμος τε, καὶ Ἱππόλοχος. ἐπ' ἀληθείῃ δὲ κεῖνοι προγόνοις ἐμοῖς εἰσὶ, τόν τε Κάδμον, καὶ τὸν Ἱππόλοχον. ὁ μὲν γὰρ Κάδμος, ὃς καὶ τὴν βουλὴν αὐτὴν ἠρτύσεν, ἐστὶ τῆς ἐμῆς μητρός. ὁ δὲ Ἱππόλοχος ἐξ Ἀσκληπιαδέων τέταρτος ἀπὸ Νεβροῦ τοῦ Κρισαίους συγκαθελόντος. ἡμεῖς δὲ Ἀσκληπιάδαι κατ' ἄνδρα ἐσμέν. ὥστε καὶ τοῦτο δὴ καλὸν τῶν ἡμετέρων προγόνων προσελέσθαι. ἐπάνειμι δὴ ἐπὶ τὸν Κάδμον. ἐστὶ γὰρ δὴ ὁ ἀνὴρ οὕτως ἑαυτοῦ δὲ τὰ τῶν Ἑλλήνων καλὰ, ὥστε ὁπότε ἔληξεν ἡ χώρη πολιορκεομένη ὑπὸ Ἀρτεμισίης, αὐτὸς καταλιπὼν τὴν γυναῖκα καὶ γενεὴν, ᾤχετο ξὺν τοῖς τὰ αὐτὰ αἱρεομένοις ἐπὶ Σικελίης, ὅπως Γέλωνα καὶ τοὺς ἀδελφοὺς κωλύσει φιλίην ξυνθέσθαι κατὰ Ἑλλήνων πρὸς τοὺς βαρβάρους. διεπρήξατο δὲ καὶ ἄλλα πολλὰ καλὰ ἔργα, ἃ μηκύνειν οὐ προσήκει. αἱ μὲν δὴ δημόσιαι καὶ ἡμέων προγόνων ὑπουργίαι ἐς ὑμέας τε ἐπὶ ἄλλους Ἕλληνας, αὗται τε τοιαῦται. καὶ γὰρ ἐκλείπει ἡ δύναμις τοῦ λόγου. ἔρχομαι δὲ ἤδη ἐν τοῖσδε, εὐεργεσίην Ἱπποκράτεος πατρὸς ἐμοῦ [189] προσέχεσθαι. λέγων δὲ ἂν ἀληθεύοιμι οὕτως. ὁπότε λοιμοῦ ῥέοντος διὰ τῶν βαρβάρων, τῶν ὑπὲρ [illegible] ἰλλυριῶν, [190] καὶ παιόνων. ὁπότε δὲ ἐπὶ ταύτην τὴν χώρην ἧκε τὸ κακὸν, οἱ τούτων τῶν ἐθνέων βασιλῆες, κατὰ δόξαν ἰητρικὴν, ἢ ἀληθὴς ἐοῦσα, πάντηχόθεν ἴσχυεν ἔρχεσθαι, καὶ κατὰ πατρὸς τοῦ ἐμοῦ, πέμπουσιν ἐπὶ Θεσσαλίης. ἐκεῖ γὰρ δὴ ὁ ἐμὸς πατὴρ καὶ πρότερον καὶ νῦν οἴκησιν εἶχε, καλέοντες αὐτὸν ἐς ἐπικουρίην χρυσόν τε καὶ ἄργυρον καὶ ἄλλα κτεάνων. [191] οὐ μόνον ἔφασαν πέμψειν [illegible], ἀλλὰ καὶ ἀπίοντα [illegible]

[illegible] ὁ δὲ ἐρωτήσας αὐτοὺς ὁκοῖαί τινες ἐν μέρει χειμῶνες γίνονται. [192] καὶ τά τε καύματα [illegible], καὶ τ' ἄλλα ἃ πέφυκε τὰς ἕξιας κινεῖν παρὰ τὸ καθεστηκός. [193] ὁπότε δὴ πάντων μαθήσιας ἀνεῖλεν, [194] τὸν

[194] σὺν αὐτῷ χωρέειν ἐκέλευσεν ὀπίσω, ἀποφηνάμενος [195] μὴ οἷόν τε εἶναι ἐς χώρην τὴν ἐκείνων ἰέναι. ὅκως δὲ εἶχε τάχεως, [196] αὐτοὺς μὲν Θεσσαλοῖς ἤρξατο παραγγέλλειν, ὁτέοισι χρὴ τρόποις κακοῦ τοῦ προσιόντος φυλακὴν ποιέεσθαι. καὶ ξυγγράψας θεραπείην ἐξέπεμψε περὶ τὰς πόλιας. ἐμὲ δὲ ἐπὶ Μακεδονίης ἐξαπέστειλε. βασιλεῦσι γὰρ Ἡρακλείδῃσιν, οἳ ἐκεῖ κατέχουσι, πατρικὴ ξενίη ὑπῆρχεν ἡμῖν. κἀγὼ μὲν ᾔειν ἵνα με ὁ πατὴρ ἐκέλευσεν, ἀπὸ Θεσσαλίης, ἀρήξων τοῖς ἐκεῖ. συνετέτακτο δέ μοι ξυμβαλεῖν ἐς πόλιν τὴν ὑμετέρην. ἀδελφεὸν δὲ τὸν ἐμὸν Δράκοντα ἐκ Παγασέων ὁρμηθέντα, πλοῦν ποιέεσθαι ἐφ' Ἑλλησπόντου ἐκέλευσε, παραπλησίην δοὺς ὑποθήκην, ἣν αὐτὸς ἐπορήσατο. οὐ γὰρ πάντες τόποι τὰ αὐτὰ φέρουσι βοηθήματα, διὰ τὸ μὴ πάντα τὰ περιέχοντα ἐκ τοῦ ἀέρος, ὅμοια εἶναι. Πόλυβον δὲ τὸν θυγατέρα ἔχοντα, ἐμὴν δὲ ἀδελφεὴν, καὶ ἄλλους τῶν μαθητέων, διέπεμψεν ἐς ἑτέρας ἑτέρους καὶ πρὸς ἀγορὰς καὶ ὁδοὺς [197] πορευσομένους, ὅπως ὅτι πλείστοισιν ἐπαρκέσαι. ὡς δὲ δὴ τὰ κατὰ Θεσσαλίην ἤνυσεν, ἐπορεύετο τοῖς ἐχομένοις ἔθνεσι βοηθέων. ἐπὶ Πύλας δὲ ἐλθὼν, διεξελθὼν [198] καὶ τοῖς ἄλλοις ὁμοῦ Φωκέων ἐπήρκεσε. καὶ ὅκως τε δὴ ἐς Δελφοὺς ἀφίκετο, ὑπὲρ Ἑλλήνων ἱκεσίην ἔθετο τῷ θεῷ. καὶ θύσας εὐχὴν τὴν ἐπὶ Βοιωτῶν τοῖς δὴ ἐκεῖ [199] ἐπαμύνας ἀναλόγως, ἐν τῇ ὑμετέρῃ ἧκε. καὶ ἱκανὰ ἃ νῦν ἐγὼ ἐπαγγέλλω τὰ ὑμῖν σωτήρια ἐκ θυμοῦ πάντως εἶπε. ἐοικέω δὴ ὑμέων ὅτι ἀληθέα, πολλοὺς γινώσκειν. οὐ γὰρ πάλαι. ἀλλ' ἔτος ἐστὶ τουτὶ ἔνατον, ἐξ οὗ διελήλυθα, καὶ ἐπὶ Πελοπόννησον ἐστελλόμην ἐς τοὺς ἐκείνην οἰκέοντας βοηθήσων. πάντοθεν δὲ ἡμῖν καὶ λόγῳ καὶ ἔργῳ ἀξίην τιμὴν ἀπήντα, ὥστε μὴ μεταμελέεσθαι ὅτι οὐκ ἠλλαξάμεθα χρηματισμοῦ τοῦ ἐξ Ἰλλυριῶν, καὶ Παιόνων. παρὰ δὲ τὰς ἄλλας πόλιας τὰ παρ' ὑμέων δοθέντα μεγάλα ἐστί. ἥ τε γὰρ πολιτείη ἡ ὑμετέρη ὑπερέχει τὰς ἑτέρων. αἱ γὰρ Ἀθῆναι ὑψηλότερόν τι τῶν ἄλλων πολίων ἐς δόξαν. καὶ ὁ ἐν τῷ ὑμετέρῳ θεάτρῳ χρύσεος στέφανος ἐπιτεθεὶς, ζήλου πρὸς τὸ ἄκρον ἦλθε. ἅμα καὶ τοῦτο τὸ καλὸν ὑπερβάλλεσθε, μυήσαντες τὰ Δήμητρος καὶ Κόρης μυστήρια καὶ ὄργια, τόν τε πατέρα καὶ ἐμὲ δημοσίᾳ. [200] τρεῖς μὲν αὗταί μοι εἰσὶν, ἃς ἐνόντα ἐξελκύσαι τι ἐν τῷ λόγῳ, καὶ χοινίον περιέχεσθαι, πόλιός τε καὶ προγόνων, καὶ πατρὸς τοῦ ἐμοῦ χάριτας ξὺν πολλοῖς Ἑλλήνων. τετάρτην δὲ ἀναλήψομαι λέγειν ὑπουργίην, ὡς ὑπεθήμην εἰς ὑμᾶς ἐγὼ καὶ ὁ πατὴρ ὁ ἐμὸς κατεθέμεθα. ὅτε γὰρ Ἀλκιβιάδην ἐξέπεμπεν ἐπὶ Σικελίης, πολλὴν μὲν δύναμιν, οὐχ οὕτω δὲ πολλὴν ὡς θαυμαστὴν, [201] εἰ γὰρ ὡς ἔργα λέγειν, ἐν ἐκκλησίῃ ὑπὲρ ἰητροῦ προσπεσόντος ὃν δέοι ἀκολουθεῖν τῷ στρατεύματι, παρελθὼν ὁ πατὴρ ὑπέσχετο ἐμὲ ἐπὶ τὰ ὑμέτερα σώματα δώσειν, τοῖς ἰδίοις δαπανήμασι κατεσκευασμένον, καὶ ἄτερ μισθῶν αἰτήσεως ἂν ὁ στόλος ἀποδημῇ. ἐν ἐλάσσονι τιθέμενος τὸ λυσιτελὲς ἀξιοχρέως ἑωυτοῦ, τῆς ὑμέων χρείης ἐσομένης. ἐγὼ γὰρ οὐχ ὅπως ἂν τὰ ὑπάρχοντα κατεδαπάνων, ὃ ἐποίεον ὑμῖν ὑπουργέων. ἀλλὰ καὶ ἐν ἄλλοισι μεγάλοισιν ἔργοισιν ἐτετάγμην. καὶ τοῦτο ἐλάχιστον τῶν μελλόντων ῥηθήσεσθαι. προείλετο γὰρ μᾶλλον ὁ πατὴρ ἐν ἐμοὶ τῷ υἱῷ καὶ ἐν γῇ ὀθνείῃ σαλεύειν καὶ τοὺς θαλάσσης καὶ τοὺς κινδύνους πολεμικούς, καὶ τοὺς ἀρρωστίας.

eos redire iuſſit, reſponſo dato ſe non poſſe ad illorum regionem proficiſci. Quàm citiſſimè autem potuit, ipſos quidem Theſſalos admonere conſtituit; quibuſnam modis ab ingruente malo ſibi cauerent, & conſcriptam medelam, per vrbes propoſuit. Me autem in Macedoniam miſit. Cum Regibus enim Heraclidarum, qui illic regnum obtinent, nobis paterni officij familiaritas intercedit. Et ego quidem ex Theſſalia quò me pater ire iuſſit diſceſſi auxilium illis laturus. Mihi verò conſtitutum erat, vt ad veſtrã vrbem accederem Draconem autem fratrem meum ex Pagaſis profectum, Helleſpontum nauigare iuſſit; conſimili præceptione inſtructum quam ipſe dederat. Neque enim loca omnia eadem ferunt auxilia; quòd ex aëre ambiente ſimilia non ſint omnia. At Polybium cui filiã ſuam ſororem meam locauerat, & reliquos diſcipulos, ad diuerſas vrbes miſit, vt ad fora & compita profecti quamplurimis ſubuenirent. Rebus autẽ in Theſſalia confectis, ad vicinas nationes, vt illis auxilio eſſet, ſe conferebat. In Pylas verò profectus, Dorienſibus & reliquis ſimul Phocenſibus auxilium ſuppeditauit. Cumque Delphos perueniſſet; pro Græcis Deo ſupplicauit, & ſacrificio peracto, ad Bœotos ſe contulit, iiſque ſimili modo ſuppetias ferens, ad vos profectus, plurima quæ ad ſalutem ſatis eſſent, quæque ego nunc adiicio penitus ex animo dixit. Quæ autẽ dico vera eſſe, multos ex vobis poſſe arbitror. Neque enim ita pridem id contigit, ſed nonus hic annus agitur, ex quo in Peloponneſum miſſus profectus ſum, iis qui eam incolunt auxilium allaturus. Nobis autem vndique & verbis, & re, dignus honor obueniebat, adeò vt minimè nos pœniteat, , cum Illyriorum aut Pæonum lucro non commutaſſe At quæ à vobis ſunt conceſſa, ad reliquas vrbes collata, magna ſunt. Veſtra enim reſpublica reliquis præſtat. Athenæ enim ad gloriam neſcio quid reliquis vrbibus ſublimius habent. Quinetiam corona illa aurea in theatro veſtro impoſita, ad ſummum gloriæ culmen ipſum perduxit. Sed & bonum illud cumulaſtis, dum patrem meque publicè Cereris & Proſerpinæ myſteriis ac ſacris initiaſtis. Atque hæc quidem tria ſunt tum vrbis, tum maiorum noſtrorum, & patris mei in vos cum multis Græcis beneficia, quæ quantum licuit verbis velut fune euoluto extenſa, vobis obtendere tentaui. Quartum verò beneficium oratione mea repetam, quod velut propoſui, in vos ego paterq; meus collocauimus. Cùm enim Alcibiadem vrbs in Siciliam cum multis copiis mitteret, neq; tamen tam multis quàm admirandis, ſiquidem facta ſpectentur, cumque in concione ſermo de Medico incidiſſet quem exercitũ ſequi oporteret, in medium progreſſus pater meus, me quoad claſſis abeſſet, ſuis ſumptibus inſtructum, citra vllam mercedem, ad curanda veſtra corpora daturum recepit, parui ſuam vtilitatem exiſtimans, quòd certò ſciret id vobis vſui fore. Ego enim non tantum dum vobis inſeruio facultates meas inſumpſi, verùm etiam aliis magnis operibus præfectus eram. Idque eorum quæ dicturus ſum eſt minimum. Maluit enim pater in me filio & in terra aliena fluctuare, & maritima ac bellica, morborumque pericula experiri,

quæ iis qui errabundam vitam degunt magis incumbere ſolent, quàm iis qui certam vitæ rationem ſequuntur. Nouerat enim gratiam gratia remetiri, & non veluti re aliqua empta, & ex manu in manum ſemel tradita, diſcedere. Et hęc quidem præſtitit. Ego autem cùm illius ſim filius, vt vobis auxilium ferrem nihil diligentiæ neque artis prætermiſi, neque ſi quando occaſio tuliſſet vobiſcum periculis obieci, neque ad hæc ambo præſtanda aut morbus, aut labor, aut maris & hoſtilis manus metus deterruit. Cuius rei teſtimonium non ab aliis quibuſdam, ſed à vobis ipſis petendum eſt. Quare ſi quis contradicere velit, confeſtim ſurgat, ſed me mentiri non exiſtimo. Hæc autem per triennium præſtiti, corona verò aurea donatus, & longè honorificentiùs acceptus, domum ad nuptias redij, vt & artis & generis noſtri ſucceſſores relinquerem. Et hæc quidem à ciuitate, maioribus noſtris, & patre, à meque, in vos profecta ſunt. Dictum etiam eſt quibus commodis affecti à vobis fuerimus. Multos autem ex vobis mirari arbitror, quorſum hæc à me recenſeantur. Vt igitur & vos ſciatis, & quæ cupio mihi eueniant, dicendi tempus eſt. Pater meus & ego (viri Athenienſes) à vobis petimus, (hac enim oratione amici & liberi à vobis amicis & liberis impetrare debemus) ne contra patriam noſtram arma hoſtilia feratis. Quod ſi deceat, quemadmodum ſane eos decet, qui ſuæ ſalutis cauſa in medium prodierunt, etiam rogamus, ne nos, quos talibus ac tantis honoribus antea dignos cenſuiſtis, ſeruorum loco habeatis. Ad hęc etiam (ſic enim dicere conueniet) ſupplicamus, ne res noſtras vobis belli iure ſubditas poſſideatis, ſi nobis longè inferioribus ſuperiores fueritis, ſed iſtud conſideretis, quòd alia aliter fortuna citò præcipitat, & quandoque magni paruorum opem implorarunt, potentioreſque per debiles ſalutem conſecuti ſunt. Manifeſtum verò arbitror, vt ne clariùs quidem mihi demonſtrandum ſit, quòd in rebus bellicis ab vno homine, nec ciuitas ſolùm, verumetiam multæ nationes iam aliquando vtilitatem conſequi viſæ fuerint, & vbi ars valet, ne nos deſpiciatis. Neque enim deſpiciendi ſumus, velut huius rei teſtimonium penes vos eſt. At principio quidem, Dij illi à quibus nos oriundos gloriamur, Æſculapius & Hercules, ad hominum vtilitatem nati ſunt eoſq; ob virtutem qua cùm iſthic agerent erant prædit, deorum loco omnes habent. Vrbs autẽ mea, & ego qui apud vos dico, velut hominum ſermones continent, ab eiuſmodi originem repetimus. Ex quo ſanè etiam pro Græcis vtroſq; hac in parte, & in præclariſſimo quoq; facinore ſtetiſſe planum erit. Neque enim res Troianæ fabulis ſed factis continentur, in quibus Cos non vna de multis, ſed maxima in auxilio ferendo fuit. Sic verò etiam Æſculapij filij, non arte ſolùm, verumetiam armis Græcis auxiliũ ſuppeditarunt. Machaon certè animam in Troade reliquit, velut de his ſcribentes tradunt, cùm ex equo Priami vrbem intraret. Ne nos ſanè vel ex eo quòd contribules ſumus, vel ex eo quòd inter auxiliares Græcis auxiliũ tulimus, iniquè opprimatis. Non producam longiùs, neq; Criſæorum res, neq; Perſarũm repetam, quandoquidẽ ea audiuiſtis, magiſq; ſunt in manibus, quã nuper cõmemorata. Quin etiã ſic in animo reponite, impium eſſe de ſe bene meritos contumelia afficere.

ἄν τις ἐν πλανώδει τινὶ βίῳ εἰθισμένος εἴη μᾶλλον προσκαλίζειν, ἢ τις ἐν τεταγμένῃ ζωῇ. ἠπίστατο γὰρ χάριτι χάριν μετρεῖσθαι. [202] καὶ μὴ εἶναι παρά τι ἀνθρώποις, ἐκ χειρὸς εἰς χεῖρας συναλλάξαντας ἀπιέναι. ὁ μὲν δὴ τοιοῦτον ὑπῆρξεν. ἐγὼ δὲ ἅτε παῖς ἐὼν ἐκείνου, οὐδὲν ἐλλείπων φιλοτιμίης καὶ τέχνης βοηθέων, καὶ κινδυνεύων σὺν ὑμῖν ὁκότε που καιρὸς εἴη. καὶ ἐς ταῦτά με ἀμφότερα οὔτε νοῦσος οὔτε κακοπαθείη, οὔτε φόβος ἐν θαλάσσῃ καὶ ὁ ἐν χερσὶ πολεμίων εἶρξε. μαρτυρίη δὲ οὐκ ἐν ἄλλοις ἧσσον, ἐν δ᾽ ὑμῖν αὐτοῖς κεῖται. ὥστε εἴ τῳ ἀντιλεκτέον, ἀναστήτω μηδὲν ὀκνήσας. ἀλλ᾽ οὐ δοκέω ψεύδεσθαι. ταῦτα δὲ πρήξας ἐπὶ τρία ἔτεα, στεφανωθείς τε χρυσέῳ στεφάνῳ, καὶ εὖ καὶ κάλλιον εὐφημευόμενος, ἐς τὴν ἰδίην ἀπῆλθον ἐπὶ γάμον. ὡς διαδόχους καταστήσαιμι καὶ τέχνης καὶ γενεῆς ἡμετέρης. ἃ μὲν δὴ παρά γε πόλιος προγόνων, πατρός τε καὶ ἐμέο ὑμῖν ὑπάρχει, ταῦτ᾽ ἐστίν. εἴρηται δὲ καὶ ὧν ἡμεῖς παρ᾽ ὑμέων ἐπαυρόμεθα. δοκέω δὲ πολλοὺς ὑμέων θαυμάζειν, ὅτεων χάριν ταῦτα ἀναμεμέτρηται. ὡς οὖν καὶ ὑμέες εἰδῆτε, καὶ ἐμοὶ γένηται ἃ ἐγὼ ἐπιθυμέω, καιρὸς λέγειν. ὁ πατὴρ ὦ ἄνδρες Ἀθηναῖοι καὶ ἐγώ, αἰτεόμεθα ὑμέας. οὕτω γὰρ εἰπεῖν ἐλευθέρους καὶ φίλους παρὰ φίλων τυχεῖν ἐλευθέρων, ἐπὶ πατρίδος τῆς ἡμετέρης ὅπλα πολέμια μὴ ἄρασθαι. εἰ δὲ δεῖ ὥσπερ ἴσως δεῖ, τοὺς ὑπὲρ τῆς αὐτῶν προεληλυθότας, καὶ δεόμεθα μὴ ἡμέας ἐόντας ἀξιωμάτων μεγάλων καὶ τοιουτέων προϋπάρξαντας, ἐν δούλων μοίρῃ τίθεσθαι. ἔτι δέ, καὶ γὰρ οὕτως ἁρμόσει λέγειν, ἱκετεύομεν [203] μὴ ποιέεσθαι τὰ ἡμέτερα, ὑμῖν αὖθις δουρίκτητα. πολὺ μειόνων [204] ἐὼν ἐπάνω γίνεσθαι, [205] ἀλλ᾽ ὑπιδέσθαι καὶ τοῦτο ὅτι ἑτέρως ἕτερα ἡ τύχη ταχείῃ. καὶ ποτὲ μικρῶν μεγάλοι προσεδεήθησαν, καὶ οἱ καρτεροὶ δι᾽ ἀσθενέας σωτηρίης ἔτυχον. δοκέω δὲ σχεδὸν δῆλον ὡς μὴ ἐνδηλότερον εἴπω ὅτι ἐφ᾽ ἑνὶ ἀνδρί, οὐ πόλις, ἀλλὰ πολλὰ ἔθνεα ἤδη ποτὲ ὤφθη ὠφεληθέντα, ἐν πολεμικοῖς, καὶ ἔνθα τέχνη ἰσχύει, μηδὲ ἡμέας ἀποβάλλησθε. καὶ γὰρ οὐδὲ ἀπόβλητοί ἐσμεν, ὡς ἐν ὑμῖν μαρτυρίη κεῖται. ἀλλ᾽ ἀρχὴν μὲν οἱ θεοί, ἔνθεν γένος εὐχόμεθ᾽ εἶναι, ἀσκληπιὸς καὶ ἡρακλῆς, ἐπ᾽ ὠφελείῃ ἀνθρώπων ἐγένοντο. καὶ τούτοις δι᾽ ἀρετῆς τῆς ἐνταῦθα ἐν θεῶν χώρῃ ἔχουσι πάντες. πόλις δὲ ἐμὴ καὶ ἐγὼ ὁ λέγων, ἐς τοιούτους ἀνερχόμεθα, ὡς ἀνθρώπων λόγοι κατέχουσιν. ὅθεν δὴ καὶ ὑπὲρ ἑλλήνων φαινόμεθα ἀμφότεροι ταύτῃ προϊστάμενοι καὶ ἐπὶ πρήξει καλλίστῃ. οὐ γὰρ μῦθος τὰ τρωικὰ ἀλλ᾽ ἔργα. [206] ἐν οἷς ἡ Κῶς σὺν τοῖς ἑωυτοῖσιν νήσοισιν οὐ πολλοστή. μεγίστη δ᾽ ἐς συμμαχίην ἐστίν. οὕτως δὲ καὶ ἀσκληπιοῦ παῖδες, οὐ τέχνῃ μόνον, ἀλλὰ καὶ ὅπλοις ἐπήρκεσαν ἕλλησι. μαχάων γέ τοι [207] ψυχὴν κατέθετο ἐν τῇ τρωάδι. ὅτε ὡς οἱ ταῦτα γράφοντες λέγουσιν, ἐξ ἵππου ἐς πόλιν τὴν πριάμου εἰσῆλθε. μὴ δὴ μήτε καθότι ἔμφυλοι, μήτε καθότι ἐξ ἐπικούρων ἐπικουρήσαντες γεγόναμεν ἕλλησιν, ἀδικήσητε ἡμέας. [208] οὐ μηκυνέω δέ, οὐδὲ τὰ κρισαίων αὖθις, οὔτε τὰ περσικὰ λέγων. ὁκότε καὶ ἀκηκόατε καὶ ἐν χερσὶν μᾶλλον τῶν ἀρτίως εἰρημένων ἐστίν. ἐν θυμῷ δὲ λάβετε καὶ οὕτως εὐεργέτας μὴ ὅσιον ἀδικεῖν.

ἡμέας

ἡμέας δὲ εὐεργέτας ὡς τὰ ἔργα φησί. τίνες φανέεσθε εἶναι, προτέρων γεγονότες, οἵων τῶν μυθολόγοι εἶπον, τὸ ἀδικεῖν αὐτοὶ τοὺς χρηστοὺς εἶναι αἱρέεσθε; οὐ γὰρ ἐθέλω πικρότερον λέγειν. κεῖνοι γὰρ ὦ ἄνδρες Ἀθηναῖοι, Ἡρακλείδαις μὲν ἔτισον χάριτας. ἑτέροισι δὲ πολλοῖσι εὐεργετηθέντες ἐπήρκεσαν. ἐπιλείποι δ' ἄν με ἡ ἡμέρη μακρὰ λέγοντα, εἰ διεξίοιμι ὁκόσοις ὁκόσα ἀπήντηκεν ἀγαθὰ οὐδὲν ἐν χρείῃ ὑμῖν ἐργασαμένοισι. περιβλέψατε δὲ ἑωυτούς. καὶ μηδὲ ἐμοῦ εἰπόντος, γνῶτε ὁκοῖα πρήσσετε. κακὴν ἔχουσιν, ὦ ἄνδρες Ἀθηναῖοι. οὐ γὰρ ἐπίσταται τὰ ἑωυτῆς μέτρῳ ταμιεύεσθαι. ἀλλὰ δὴ τινὰς καὶ πόλιας καὶ ἔθνεα ἐλυμήνατο. ἐς ἑτέρους δὲ ὡς ἐς κάτοπτρον βλέψαντες, ἴδετε αὐτοὶ ἃ ποιέετε, καὶ ἐγὼ ἀληθέα λέγω. καὶ νέος δὲ νόμος ὅστις εὐτυχίῃ πεποιθὼς, μὴ καὶ ἐς τὰ δυσχερέα βλέπειν, οὐχ ὑμέτερον. πολλὰ γὰρ τοῦ ὧδε δαίμονος πεπείρησθε. οὐδὲν ὑμέας ἀδικέομεν. εἰ δὲ καὶ ἀδικέομεν, μὴ ὅπλοις, ἀλλὰ λόγῳ κριθῶμεν. παραιτέομαι δὲ ὑμέας καὶ τοῦτο, μὴ ποιῆσαι χάριν ἑτέροισι ὀφλῆσαι, ἐπικουρήσουσιν ἡμῖν. ἐπικουρήσουσι γὰρ ἢν ὀρθῶς ποιέωσιν. οἵ τε ἐντὸς Θεσσαλίης. Ἄργεος. Λακεδαίμονος. Μακεδονίης βασιλέες. εἴ κου ἕτεροι Ἡρακλεῖδαι. ἢ Ἡρακλειδέων συγγενέες οἰκέουσι. κρέσσον ἄτερ βίης τὰ δίκαια ποιέειν, ἢ βιασθέντα. οὐκ εἶπον δὲ ἐπηρμασάντων. τοῦτο δὲ φανερὸν ποιέω, ὅτι πολλοῖσι μελόμεθα, ἢ μελησόμεθα. εἰ μὴ πάντοθεν οἴχεται τὸ χρηστοὺς ἀνθρώποις ἔτι εἶναι. ἐγὼ μὲν οὖν, μικρὴ γάρ μοι δύναμις λόγου, ἅτε πρὸς ἑτέρων ἐπιμελείας ὡρμισμένῳ, ἐνταῦθα καταπαύσω. ἀξιῶ δὲ πρὸς ξένους ἡμετέρους, καὶ τοὺς ἡμῖν συμβούλους εἰθισμένους εἶναι, καὶ θεῶν καὶ ἡρώων εἵνεκα τῶν χαρίτων, αἳ ἀνθρώποις παρὰ ἀνθρώπων γίνονται, ἔχθρας μὲν εἴργειν τὰς ἤδη ἐς ἡμέας. εἰς δὲ φιλίαν προτρέπεσθαι. εἰ γὰρ μὴ ἐν τῇ ὑμετέρῃ πόλει τουτέων ἐπιτευξόμεθα, οὐκ οἶδα ὅκου ἐλθόντες, ὧν ἱμείρομεν, ἐγκυρήσομεν.

Nos autem de vobis bene meritos cùm facta teſtentur, quales vos eſſe conſtabit, ſi ex maioribus orti, quales fabularum ſcriptores ferunt, iniuria laceſſere quàm benefici eſſe malueritis? Neque enim quicquam atrocius dicere volo. Illi enim (viri Athenienſes) Heraclidis quidem gratias retulerunt, aliis autem multis à quibus beneficia acceperant, auxilio ſubuenerunt. Dies me ſanè deficiat, ſi longa enarratione enumerem quantà bona iis obuenerint, qui nulla in re de vobis ſunt benè meriti. In voſmetipſos intueamini, meq; vel tacente, cognoſcite qualia perpetretis. Mala re[illegible] potentia, (viri Athenienſes) neque enim nouit quæ ſua ſunt intra modum In aliud tempus aſſeruare, verùm & vrbibus quibuſdam & gentibus exitio fuit. In alios autem tanquam in ſpeculum intuentes, videte quæ ipſi facitis, & me vera dicere intelligite. Et noua lex eſt, quæ eum qui ſibi rerum proſperum ſucceſſum perſuadet, vetat etiam ad difficilia reſpicere. Non hoc eſt veſtrum. Plæronque enim ſic etiam fortunam eſtis experti. Nulla vos læſimus iniuria, quòd ſi læſimus, non armis, ſed verbis iudicium experiamur. Iſtud etiam à vobis peto, ne efficiatis vt aliis qui nobis auxilium ferent hoc beneficium debeamus. Auxilium enim ferent, ſi quidem rectè faciant, qui intra Theſſaliam, Argo, Lacedæmona, Macedoniam ſunt Reges, & ſicubi alij Heraclidæ, aut Heraclidis cognatione coniuncti. Præſtat citra vim, quàm vi coactos iura exercere. Nihil dico de his qui nos ad defectionem ſolicitant, verùm hoc vobis aperio, nos multis curæ eſſe, aut certè fore, niſi hominum beneuolentia de medio omnino ſublata eſt. Ego igitur cùm mihi ſit exilis dicendi facultas & me ad aliarum rerum ſtudium adiunxerim, hic finem dicendi faciam. Peto autem à vobis per hoſpites noſtros, & eos qui nobis conſulere conſueuerunt, Deorum & Heroum gratia, & beneficiorum quæ homines inter ſe conferunt, vt depoſitis inimicitiis quas aduerſus nos geritis, vos ad amicitiam conuertatis. Quæ ſi in hac ciuitate veſtra nobis non ſucceſſerint, haud ſcio vndenam quæ cupimus conſequamur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΓΕΝΟΣ ΚΑΙ
ΒΙΟΣ ΚΑΤΑ ΣΩΡΑΝΟΝ.

HIPPOCRATIS GENVS ET VITA,
EX SORANO.

ΙΠΠΟΚΡΑΤΗΣ γένει μὲν ἦν Κῷος, υἱὸς Ἡρακλείδου καὶ Φαιναρέτης, εἰς Ἡρακλέα καὶ Ἀσκληπιὸν τὸ γένος ἀναφέρων. ἀφ' οὗ μὲν εἰκοστός. ἀφ' οὗ δὲ ἐννεακαιδέκατος. μνημονεύει δὲ τῆς γενεαλογίας αὐτοῦ Ἐρατοσθένης, καὶ Φερεκύδης, καὶ Ἀπολλόδωρος, καὶ Ἄρειος ὁ Ταρσεύς. μαθητὴς δὲ γέγονεν Ἡρακλείδου τοῦ ἰδίου πατρός. εἶτα Ἡροδίκου κατὰ δέ τινας καὶ Γοργίου τοῦ Λεοντίνου ῥήτορος. φιλοσόφου δὲ Δημοκρίτου Ἀβδηρίτου. κατὰ δὲ τοὺς Πελοποννησιακοὺς ἤκμασε χρόνους. γεννηθεὶς, ὥς φησιν Ἰστόμαχος ἐν τῷ πρώτῳ περὶ τῆς Ἱπποκράτους αἱρέσεως, κατὰ τὸ πρῶτον ἔτος τῆς ὀγδοηκοστῆς ὀλυμπιάδος. ὡς δὲ Σωρανὸς ὁ Κῷος ἐρευνήσας τὰ ἐν Κῷ γραμματοφυλάκια προστίθησι, μοναρχοῦντος Ἀβριάδα. μηνὸς Ἀγριανοῦ ἕκτῃ καὶ εἰκοστῇ, παρὸ καὶ ἐναγίζειν ἐν αὐτῇ μέχρι νῦν Ἱπποκράτει φησὶ τοὺς Κῴους. συνασκηθεὶς δὲ ἐν τῇ ἰατρικῇ καὶ τοῖς ἐγκυκλίοις μαθήμασι τὴν γενεὰν αὐτοῦ

HIPPOCRATES genere quidem Cous fuit, Heraclidæ & Phænaretes filius, ab Hercule & Æſculapio ortum ducens, ab vno quidem vigeſimus, ab altero verò decimusnonus. Eius autem generis ſeriem commemorant Eratoſthenes & Pherecydes, & Apollodorus, & Arius Tarſenſis. Heraclidæ verò parentis ſui diſcipulus extitit, deinde Herodici, & ex quorundam opinione etiam Gorgiæ Leontini oratoris, & Democriti philoſophi Abderitani. Peloponneſiacis tẽporibus viguit, natus vt tradit Iſtomachus in primo de Hippocratis ſecta, primo octogeſimæ Olympiadis anno, vt verò Soranus Cous literarũ monimẽta in Co perſcrutatus addit, regnãte Abriada, mẽſis Agriani ſexto & vigeſimo die, quo etiã in hũc vſq; diẽ Coos Hippocrati parentare ait. Arte autẽ Medica & vulgaribus diſciplinis excultus, vita functis parẽtibus

